# AKOLOYUIA

# TOY ES-

Εὐλογήσαντος τοῦ ῾Ιερέως, ὁ Προεστώς, ἤ ὁ ταχθείς Μοναχός, λέγει τόν Προοιμιακόν Ψαλμόν, χύμα· καί ὁ ῾Ιερεύς, ἔμπροσθεν τῆς ῾Αγίας Τραπέζης, ἀναγινώσκει μυστικῶς τάς εὐχάς τοῦ Λυχνικοῦ.

## ΕΥΧΗ ΠΡΩΤΗ

**Κ** ύριε, οἰκτίρμον καί ἐλεῆμον, μακρόθυμε καί πολυέλεε, ἐνώτισαι τήν προσευχήν ἡμῶν, καί πρόσχες τῇ φωνῇ ἧς δεήσεως ἡμῶν· ποίησον μεθ᾽ ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁδήγησον ἡμᾶς ἐν τῇ ὁδῷ σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ σου· εὔφρανον τάς καρδίας ἡμῶν, εἰς τό φοβεῖσθαι τό ῎Ονομά σου τό ἅγιον· διότι μέγας εἶ σύ, καί ποιῶν θαυμάσια· σύ εἶ Θεός μόνος, καί οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε· δυνατός ἐν ἐλέει, καί ἀγαθός ἐν ἰσχύϊ, εἰς τό βοηθεῖν, καί παρακαλεῖν, καί σώζειν πάντας τούς ἐλπίζοντας εἰς τό ῎Ονομά σου τό ἅγιον. ῞Οτι πρέπει σοι πᾶσα δόξα τιμή, καί προσκύνησις, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾽Αμήν.

## ΕΥΧΗ ΔΕΥΤΕΡΑ

**Κ** ύριε, μή τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδέ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἀλλά ποίησον μεθ᾽ ἡμῶν κατά τήν ἐπιείκειάν σου, ἰατρέ καί θεραπευτά τῶν ψυχῶν ἡμῶν. ῾Οδήγησον ἡμᾶς ἐπί λιμένα θελήματός σου. Φώτισον τούς ὀφθαλμούς τῶν καρδιῶν ἡμῶν, εἰς ἐπίγνωσιν τῆς σῆς ἀληθείας· καί δώρησαι ἡμῖν τό λοιπόν τῆς παρούσης ἡμέρας εἰρηνικόν καί ἀναμάρτητον, καί πάντα τόν χρόνον τῆς ζωῆς

ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καί πάντων τῶν ῾Αγίων. Ὅτι σόν τό κράτος, καί σοῦ ἐστιν ἡ Βασιλεία, καί ἡ δύναμις, καί ἡ δόξα, τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ ῾Αγίου Πνεύματος, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

## ΕΥΧΗ ΤΡΙΤΗ

Κ ύριε, ὁ Θεός ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καί ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τό ἅγιον Ὄνομά σου, καί μή καταισχύνῃς ἡμᾶς ἀπό τῆς προσδοκίας τοῦ ἐλέους σου, ἀλλά χάρισαι ἡμῖν, Κύριε, πάντα τά πρός σωτηρία αἰτήματα· καί ἀξίωσον ἡμᾶς ἀγαπᾷν, καί φοβεῖσθαί σε ἐξ ὅλης τῆς καρδίας ἡμῶν, καί ποιεῖν ἐν πᾶσι τό θέλημά σου. Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

## ΕΥΧΗ ΤΕΤΑΡΤΗ

Ὁ τοῖς ἀσιγήτοις ὕμνοις, καί ἀπαύστοις δοξολογίαις ὑπό τῶν ἁγίων Δυνάμεων ἀνυμνούμενος, πλήρωσον τό στόμα ἡμῶν τῆς αἰνέσεώς σου, τοῦ δοῦναι μεγαλωσύνην τῷ ᾿Ονόματί σου τῷ ἁγίῳ· καί δός ἡμῖν μερίδα καί κλῆρον μετά πάντων τῶν φοβουμένων σε ἐν ἀληθείᾳ, καί φυλασσόντων τάς ἐντολάς σου· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καί πάντων τῶν ῾Αγίων σου. Ὅτι πρέπει σοι πᾶσα δό ξα τιμή, καί προσκύνησις, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

## ΕΥΧΗ ΠΕΜΠΤΗ

Κύριε, Κύριε, ὁ τῇ ἀχράντῳ σου παλάμῃ συνέχων τά σύμπαντα, ὁ μακροθυμῶν ἐπί πάντας ἡμᾶς, καί μετανοῶν ἐπί ταῖς κακίαις ἡμῶν, μνήσθητι τῶν οἰκτιρμῶν σου καί τοῦ ἐλέους σου· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σῇ ἀγαθότητι· καί δός ἡ-

μῖν διαφυγεῖν καί τό λοιπόν τῆς παρούσης ἡμέρας, ἐκ τῶν τοῦ πονηροῦ ποικίλων μηχανημάτων, καί ἀνεπιβούλευτον τήν ζωήν ἡμῶν διαφύλαξον, τῇ χάριτι τοῦ παναγίου σου Πνεύματος. Ἐλέει, καί φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ, καί ἀγαθῷ, καί ζωοποιῷ σου Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΚΤΗ

Ὁ Θεός ὁ μέγας καί θαυμαστός, ὁ ἀνεκδιηγήτῳ ἀγαθωσύνῃ, καί πλουσίᾳ προνοίᾳ διοικῶν τά σύμπαντα· ὁ καί τά ἐγκόσμια ἀγαθά ἡμῖν δωρησάμενος, καί κατεγγυήσας ἡμῖν τήν ἐπηγγελμένην βασιλείαν, διά τῶν ἤδη κεχαρισμένων ἡμῖν ἀγαθῶν· ὁ ποιήσας ἡμᾶς καί τῆς νῦν ἡμέρας τό παρελθόν μέρος ἀπό παντός ἐκκλῖναι κακοῦ, δώρησαι ἡμῖν καί τό ὑπόλοιπον ἀμέμπτως ἐκτελέσαι, ἐνώπιον τῆς ἁγίας δόξης σου, ὑμνοῦντας σέ τόν μόνον ἀγαθόν, καί φιλάνθρωπον Θεόν ἡμῶν. Ὅτι σύ εἶ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΒΔΟΜΗ

Ὁ Θεός ὁ μέγας καί ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ πᾶσαν τήν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διαχωρίσας ἀνά μέσον τοῦ φωτός, καί ἀνά μέσον τοῦ σκότους, καί τόν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δέ καί ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τούς ἁμαρτωλούς, καί ἐπί τῆς παρούσης ἡμέρας προφθάσαι τό πρόσωπόν σου ἐν ἐξομολογήσει, καί τήν ἑσπερινήν σοι δοξολογίαν προσαγαγεῖν. Αὐτός, φιλάνθρωπε Κύριε κατεύθυνον τήν προσευχήν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καί πρόσδεξαι αὐτήν εἰς ὀσμήν εὐωδίας. Παράσχου δέ ἡμῖν τήν παροῦσαν ἑσπέραν, καί τήν ἐπιοῦσαν νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀ-

πό φόβου νυκτερινοῦ, καί ἀπό παντός πράγματος ἐν σκότει διαπορευομένου· καί δώρησαι ἡμῖν τόν ὕπνον, ὅν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ· ἵνα, καί ἐν ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν καί ἐν νυκτί τοῦ παναγίου ὀνόματός σου· καί τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι ἐν ἀγαλλιάσει ψυχῆς διανιστῶμεν πρός δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καί ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπέρ τῶν ἰδίων ἁμαρτημάτων, καί παντός τοῦ λαοῦ σου, ὅν ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι. Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πληρωθέντος τοῦ Προοιμιακοῦ Ψαλμοῦ, ὁ μέν Ἱερεύς παραμένει ἐν εὐλαβείᾳ ἐνώπιον τῆς ἁγίας Τραπέζης, ὁ δέ Διάκονος ποιεῖ σχῆμα πρός τόν Ἱερέα, καί ἐξελθών τοῦ ἱεροῦ Βήματος, διά τῆς Βορείας πύλης καί, στάς πρό τῆς Ὡραίας πύλης, καί βλέπων κατ᾽ ἐνώπιον τῆς εἰκόνος τοῦ Χριστοῦ, λέγει τήν Μεγάλην Συναπτήν, ἤτοι τά «Εἰρηνικά»

Ἐλλείψει Διακόνου, ἅπαντα τά τοῦ Διακόνου λέγει ὁ Ἱερεύς, ἱστάμενος ἀσκεπής. Μεθ᾽ ἑκάστην Δέησιν οἱ Χοροί, ἐναλλάξ, ψάλλουσιν ἅπαξ, τό· Κύριε ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου Οἴκου τούτου, καί τῶν μετά πίστεως, εὐλαβείας καί φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ κλήρου καί τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ συμπολεμῆσαι καί ὑποτάξαι ὑπό τό κράτος αὐτοῦ, πάντα ἐχθρόν καί πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς πόλεως (ἤ τῆς χώρας, ἤ τῆς κώμης, ἤ τῆς νήσου, ἤ τῆς ἁγίας Μονῆς) ταύτης, πάσης πόλεως, χώρας, καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καί καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά

πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ἀναγινώσκεται ἡ Α΄ Στάσις τοῦ Α΄ Καθίσματος τοῦ Ψαλτηρίου, καί ὁ Διάκονος, ἐξελθών διά τῆς βορείας θύρας καί ἐκ τῆς οἰκείας αὐτοῦ θέσεως, ἐκφωνεῖ τήν μικρά Συναπτήν.

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς·

Ὅτι σόν τό κράτος, καί σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις, καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ψαλλομένου δέ τοῦ Κύριε ἐκέκραξα, εἰ οὐκ ἔστι Διάκονος, ἐνδύεται ὁ Ἱερεύς τό φελώνιον καί εὐλογῶν τό θυμίαμα λέγει· Καί μετά τήν εὐλογίαν, εἰς τάς λέξεις ὡς θυμίαμα τοῦ Κατευθυνθήτω, θυμιᾷ τήν ἁγίαν Τράπεζαν κύκλῳ τό ἱερατεῖον ὅλον (πρόθεσιν, ἱερόν βῆμα)· καί ἐξερχόμενος διά

τῆς Βορείου πύλης, θυμιᾷ τάς ἁγίας εἰκόνας ἀνά τρίς, τόν λαόν καί τόν ναόν ἅπαντα κατά τό ἔθος τῶν ἁγίων Ἐκκλησιῶν, ὑποστρέφων καί πάλιν διά τῆς νοτίου πύλης ἐν τῷ Βήματι. Μετά τό, Δόξα, Καί νῦν. εἰσοδευόντων ἀμφοτέρων, λέγει ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα, τό θυμίαμα.

Ὁ Ἱερεύς εὐλογῶν αὐτῷ λέγων πραείᾳ τῇ φωνῇ.

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Θυμίαμά σοι προσφέρομεν, Χριστέ ὁ Θεός ἡμῶν, εἰς ὀσμήν εὐωδίας πνευματικῆς, ὅ προσδεξάμεμενος εἰς τό ὑπερουράνιόν σου Θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τήν χάριν τοῦ παναγίου Πνεύματος.

Ἐξερχομένων δέ διά τῆς Βορείου θύρας, προπορευομένου τοῦ Διακόνου· καί ἱσταμένων ἀπέναντι τῶν ἁγίων θυρῶν, λέγει ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δέ Ἱερεύς κλίνας τήν κεφαλήν λέγει μυστικῶς τήν εὐχήν τῆς εἰσόδου·

Ἑσπέρας καί πρωΐ καί μεσημβρίας αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καί δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε. Κατεύθυνον τήν προσευχήν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου καί μή ἐκκλίνῃς τάς καρδίας ἡμῶν εἰς λόγους ἤ εἰς λογισμούς πονηρίας, ἀλλά ῥῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τάς ψυχάς ἡμῶν· ὅτι πρός σέ, Κύριε, ύριε, οἱ ὀφθαλμοί ἡμῶν καί ἐπί σοί ἠλπίσαμεν· μή καταισχύνῃς ἡμᾶς, ὁ Θεός ἡμῶν.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Εὐλόγησον, δέσποτα, τήν ἁγίαν εἴσοδον.

Καί ὁ Ἱερεύς εὐλογεῖ κατά ἀνατολάς, λέγων·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, πάντοτε νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καί ὁ Διάκονος ἐκφωνεῖ τό,

Σοφία· ὀρθοί.

Καί ψάλλεται ἀργῶς καί σεμνοπρεπῶς παρά τῶν Ἱερέων ἡ «Ἐπιλύχνιος Εὐχαριστία», ἤτοι τό·

**Φ**ῶς ἱλαρόν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπί τήν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν καί Ἅγιον Πνεῦμα, Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱέ Θεοῦ, ζωήν ὁ διδούς· διό ὁ κόσμος σέ δοξάζει.

Εἶτα εἰσέρχονται διά τῆς ὡραίας πύλης ἐν τῷ ἁγίῳ Βήματι, τοῦ ἔχοντος τό θυμιατόν θυμιῶντος τήν ἁγίαν Τράπεζαν. Μετά δέ τήν συμπλήρωσιν τοῦ Φῶς ἱλαρόν, ὁ Ἱερεύς ἤ ὁ Διάκονος στραφείς πρός τόν λαόν ἐκφωνεῖ·

Ἑσπέρας προκείμενον.

Καί οἱ Χοροί ψάλλουν τό προκείμενον τῆς ἡμέρας.

Ἐάν ὅμως ὑπάρχωσι προφητικά ἀναγνώσματα, ἀναγινώσκει ταῦτα ὁ ἱερατικῶς Προϊστάμενος ἤ ὁ Ἀναγνώστης, ὁ δέ Διάκονος ἐκφωνεῖ, ἐν ἀρχῇ ἑκάστου, καί μετά τήν ἐκφώνησιν τοῦ τίτλου τοῦ Ἀναγνώσματος.

Σοφία. Πρόσχωμεν.

Ἐάν δέ ἀποστολικά,

Πρόσχωμεν. Σοφία. Πρόσχωμεν.

Καί ἐάν οὐδέτερον τούτων, εὐθύς μετά τό προκείμενον ὁ Ἱερεύς ἤ ὁ Διάκονος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, λέγει τήν μεγάλην ἐκτενῆ.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καί ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καί μοναχῶν, καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει (ἤ τῇ χώρᾳ, ἤ τῇ κώμῃ, ἤ τῇ νήσῳ) καί ἐνορία ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης (ἤ τῶν ἀδελφῶν τῆς ἱερᾶς Μονῆς ταύτης καί τῶν εὐλαβῶν προσκυνητῶν).

[Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καί ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἤ Μονῆς) ταύτης, καί ὑπέρ πάντων τῶν προαναπαυσαμένων πατέρων καί ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καί ἁπανταχοῦ ὀρθοδόξων.]

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καί καλλιεργούντων ἐν τῷ ἁγίῳ καί πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καί ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τό παρά σοῦ μέγα καί πλούσιον ἔλεος.

Ὁ Ἱερεύς, ἐκφώνως·

῞Οτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

῾Ο Προεστώς ἤ ὁ ᾿Αναγνώστης, ἀναγινώσκει τό·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητός εἶ, Κύριε, ὁ Θεός τῶν Πατέρων ἡμῶν, καί αἰνετόν καί δεδοξασμένον τό ὄνομά σου εἰς τούς αἰῶνας. ᾿Αμήν. Γένοιτο, Κύριε, τό ἔλεός σου ἐφ᾿ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπί σέ. Εὐλογητός εἶ, Κύριε, δίδαξόν με τά δικαιώματά σου. Εὐλογητός εἶ, Δέσποτα, συνέτισόν με τά δικαιώματά σου. Εὐλογητός εἶ, ῞Αγιε, φώτισόν με τοῖς δικαιώμασί σου· Κύριε, τό ἔλεός σου εἰς τόν αἰῶνα, τά ἔργα τῶν χειρῶν σου μή παρίδῃς. Σοί πρέπει αἶνος, σοί πρέπει ὕμνος, σοί δόξα πρέπει τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

Εἶτα ὁ Διάκονος λέγει·

Πληρώσωμεν τήν ἑσπερινήν δέησιν ἡμῶν τῷ Κυρίῳ.

᾿Αντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

῎Αγγελον εἰρήνης, πιστόν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καί ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦΚυρίου αἰτησώμεθα.

Τά καλά καί συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καί εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τόν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καί μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανά τά τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καί καλήν ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς εὐλογῶν τόν λαόν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καί τῷ πνευματί σου.

Ὁ Διάκονος·

Τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς λέγει τήν εὐχήν τῆς κεφαλοκλισίας·

**Κ**ύριε ὁ Θεός ἡμῶν, ὁ κλίνας οὐρανούς καί καταβάς ἐπί σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τούς δούλους σου καί ἐπί τήν κληρονομίαν σου· σοί γάρ τῷ φοβερῷ καί φιλανθρώπῳ κριτῇ οἱ σοί δοῦλοι ὑπέκλιναν τάς κεφαλάς, τούς δέ αὐτῶν ὑπέταξαν αὐχένας, οὐ τήν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλά τό σόν περιμένοντες ἔλεος καί τήν σήν ἀπεκδεχόμενοι σωτηρίαν· οὕς διαφύλαξον ἐν παντί καιρῷ καί κατά τήν παροῦσαν ἑσπέραν καί τήν προσιοῦσαν νύκτα ἀπό παντός ἐχθροῦ, ἀπό πάσης ἀντικειμένης ἐνερ-

γείας διαβολικῆς καί διαλογισμῶν ματαίων καί ἐνθυμήσεων πονηρῶν.

Ἐκφώνως·

Εἴη τό κράτος τῆς βασιλείας σου εὐλογημένον καί δεδοξασμένον τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶθ᾽ οὕτω ψάλλομεν τά Ἰδιόμελα τῆς Λιτῆς, τοῦ ἑορταζομένου Ἁγίου, λιτανεύοντες ἐν τῷ Νάρθηκι τοῦ Ἱερέως καί τοῦ Διακόνου, τήν εἰκόνα τοῦ ἁγίου, προπορευομένων μετά λαμπάδων καί θυμιατοῦ, καί ἐν τῷ συμπληρῶσαι τῶν Τροπαρίων τῆς Λιτῆς, ὁ Διάκονος ἤ ὁ νεώτερος Ἱερεύς ἐκφωνεῖ τάς Δεήσεις, ὁ δέ Χορός, μεθ᾽ ἑκάστην Δέησιν, ψάλλει εὐλαβῶς τό Κύριε ἐλέησον (γ΄.)

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος, καί ὑπέρ πάσης ψυχῆς χριστιανῶν θλιβομένης τε καί καταπονουμένης, ἐλέους Θεοῦ καί βοηθείας ἐπιδεομένης· σκέπης τοῦ ἁγίου οἴκου τούτου (ἤ τῆς ἁγίας Μονῆς ταύτης), τῶν ψαλλόντων ἐν αὐτῷ καί τοῦ περιεστῶτος λαοῦ· εἰρήνης καί καταστάσεως τοῦ σύμπαντος κόσμου· εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν· σωτηρίας καί βοηθείας τῶν μετά σπουδῆς καί φόβου Θεοῦ κοπιώντων καί διακονούντων πατέρων καί ἀδελφῶν ἡμῶν· ὑπέρ τῶν ἀπολειφθέντων καί τῶν ἐν ἀποδημίᾳ ὄντων· ὑπέρ τῶν ἐν θαλάσσῃ καί ἀέρι πλεόντων καί τῶν ἐν ὁδοιπορίαις ὄντων· ἰάσεως τῶν ἐν ἀσθενείαις κατακειμένων· ὑπέρ ἀναρύσεως τῶν αἰχμαλώτων·

τῶν ἐν φυλακαῖς καί περιστάσεσιν ὄντων· καί ὑπέρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων, καί μεμνημένων τῶν πενήτων, καί πάντων τῶν ἀπεκδεχομένων τά ἐλέη τοῦ Θεοῦ, εἴπωμεν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, κράτους, νίκης, διαμονῆς, ὑγιείας, σωστηρίας αὐτῶν καί τοῦ Κύριον τόν Θεόν ἡμῶν, ἐπί πλέον συνεργῆσαι, κατευοδῶσαι αὐτούς ἐν πᾶσι καί ὑποτάξαι ὑπό τό κράτος αὐτῶν πάντα ἐχθρόν καί πολέμιον.

Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τοῦ ἁγίου Ναοῦ τούτου, (ἤ τῆς ἁγίας Μονῆς ταύτης), καί τῶν ἐπιτελούντων τήν ἁγίαν ἑορτήν ταύτην, καί τῶν δούλων αὐτοῦ τῶν προσφερόντων τούς Ἄρτους τούτους, (καί μνημονεύει τῶν ὀνομάτων τῶν προσφερόντων τούς Ἄρτους) ὑγείας καί σωτηρίας ὑπέρ αὐτῶν εἴπωμεν.

Ἔτι δεόμεθα, ὑπέρ τοῦ διαφυλαχθῆναι τήν ἁγίαν Ἐκκλησίαν καί τήν πόλιν (ἤ νῆσον) ταύτην, καί πᾶσαν πόλιν καί χώραν ἀπό ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καί αἰφνιδίου θανάτου· ὑπέρ τοῦ ἵλεων, εὐμενῆ καί εὐδιάλλακτον γενέσθαι τόν ἀγαθόν καί φιλάνθρωπον Θεόν ἡμῶν, τοῦ ἀποστρέψαι καί διασκεδάσαι πᾶσαν ὀργήν καί νόσον, τήν καθ᾽ ἡμῶν κινουμένην καί ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καί ἐλεῆσαι ἡμᾶς.

Καί ἡμεῖς ψάλλομεν τό· Κύριε, ἐλέησον μ'.

Ἔτι δεόμεθα καί ὑπέρ τοῦ εἰσακοῦσαι Κύριον τόν Θεόν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καί ἐλεῆσαι ἡμᾶς.

Ὁ Ἱερεύς·

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτήρ ἡμῶν, ἡ ἐλπίς πάντων τῶν περάτων τῆς γῆς καί τῶν ἐν θαλάσσῃ μακράν· καί ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπί ταῖς ἁμαρτίαις ἡμῶν, καί ἐλέησον ἡμᾶς. Ἐλεήμων γάρ καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Χορός· Ἀμήν.

Εἶτα λέγει ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ Διάκονος·

Τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Πάντων δέ κλινόντων τάς κεφαλάς, ὁ Ἱερεύς μεγαλοφώνως ἐπεύχεται, λέγων·

**Δ**έσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, πρεσβείαις τῆς παναχράντου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καί βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων, πανευφήμων καί πρωτοκορυφαίων ἀποστόλων Πέτρου καί Παύλου καί πάντων τῶν ἁγίων Ἀποστόλων· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου, ἐπισκόπου Μύρων τῆς Λυκίας, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος καί Νε-

κταρίου Πενταπόλεως, τῶν θαυματουργῶν· τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρων, Τήρωνος καί Στρατηλάτου, καί Μηνᾶ τοῦ θαυματουργοῦ· τῶν ἱερομαρτύρων Χαραλάμπους καί Ἐλευθερίου· τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων γυναικῶν Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καί Εἰρήνης· τῶν ὁσίων καί θεοφόρων πατέρων ἡμῶν, τῶν ἐν ἀσκήσει λαμψάντων· (τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τῆς Μονῆς), τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης· (τοῦ Ἁγίου τῆς ἡμέρας ἐφ᾽ ὅσον δέν ἐμνημονεύθη ἐν τοῖς ἀνωτέρω), οὗ τήν μνήμην ἐπιτελοῦμεν καί πάντων σου τῶν Ἁγίων· Εὐπρόσδεκτον ποίησον τήν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τήν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρόν καί πολέμιον· εἰρήνευσον ἡμῶν τήν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καί τόν κόσμον σου, καί σῶσον τάς ψυχάς ἡμῶν, ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός.

Εἶτα ὁ Ἱερεύς λαμβάνει θυμιατήριον, καί θυμιᾷ σταυροειδῶς, στρεφόμενος περι τούς Ἄρτους, τοῦ Διακόνου κρατοῦντος λαπάδα καί ὑποκλινομένου ἀπέναντι αὐτοῦ· θυμιῶν δέ οὕτως ὁ Ἱερεύς, ψάλλει τό·

Ἦχος πλ. α΄.

Θεοτόκε παρθένε, χαῖρε κεχαριτωμένη Μαρία· ὁ Κύριος μετά σοῦ· εὐλογημένη σύν ἐν γυναιξί, καί εὐλογημένος ὁ καρπός τῆς κοιλίας σου.....

Ὁ δέ ἀριστερός Χορός συμπληροῖ, ψάλλων·

......ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Κατά τήν περίοδον δέ τῆς Διακαινησίμου ἑβδομάδος, ψάλλεται τό «Χριστός ἀνέστη», εἶτα ὁ Διάκονος λέγει·

Τοῦ Κυρίου δεηθῶμεν.

῾Ο Χορός· Κύριε ἐλέησον.

Εἶτα ὁ ῾Ιερεύς, βαλών τήν δεξιάν αὐτοῦ χεῖρα ἐπί τόν ὑψωθέντα ῎Αρτον, καί ποιῶν, ἐν αὐτῷ τό σημεῖον τοῦ Σταυροῦ, ἐπεύχεται μεγαλοφώνως, τήν Εὐχήν ταύτην, τῶν λοιπῶν ῾Ιερέων ὑποβασταζόντων τόν ῎Αρτον.

ΕΥΧΗ

Κύριε ᾿Ιησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ὁ εὐλογήσας τούς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ, καί ἐξ αὐτῶν πεντακισχιλίους ἄνδρας χορτάσας, Αὐτός εὐλόγησον καί τούς ἄρτους τούτους, τόν σῖτον, τόν οἶνον, καί τό ἔλαιον· καί πλήθυνον αὐτά ἐν τῇ ἁγίᾳ ᾿Εκκλησίᾳ, τῇ πόλει (ἤ τῇ χώρᾳ, ἤ τῇ κώμῃ, ἤ τῇ νήσῳ ἤ τῇ ἁγία Μονῇ) ταύτῃ, ἐν τοῖς οἴκοις τῶν ἑορταζόντων καί εἰς τόν κόσμον σου ἅπαντα, καί τούς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστούς δούλους σου ἁγίασον. ῞Οτι σύ εἶ ὁ εὐλογῶν καί ἁγιάζων τά σύμπαντα, Χριστέ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

῾Ο εὐλογήσας ῾Ιερεύς καί οἱ λοιποί συμπρεσβύτεροι, ἀσπασάμενοι τόν ῎Αρτον, εἰσέρχονται, προπορευομένου τοῦ Διακόνου, εἰς τό ἅγιον Βῆμα, ψάλλοντες ἅπαξ, τό·

Πλούσιοι ἐπτώχευσαν καί ἐπείνασαν· οἱ δέ ἐκζητοῦντες τόν Κύριον, οὐκ ἐλαττωθήσονται παντός ἀγαθοῦ.

Οἱ Χοροί ἐπαναλαμβάνουσι τό αὐτό δίς, καί μετά ἄρχονται ψάλλοντες τά ᾿Απόστιχα. Μετά δέ τοῦ Δόξα, Καί νῦν, ὁ ῾Ιερεύς ἤ ὁ Προεστώς λέγει τό·

Νῦν ἀπολύεις τόν δοῦλόν σου, Δέσποτα, κατά τό ῥῆμα σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τό σωτήριόν σου, ὅ ἡτοίμασας κατά πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καί δόξαν λαοῦ σου ᾿Ισραήλ.

Εἶτα ὁ ᾿Αναγνώστης λέγει τό Τρισάγιον.

Εἶτα ὁ Ἱερεύς ἐκφωνεῖ·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Μετά δέ τό ἀπολυτίκιον λέγει ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Καί ὁ Ἱερεύς, ἐπί τῆς ὡραίας πύλης ἱστάμενος καί βλέπων πρός δυσμάς, εὐλογῶν τόν λαόν ἐκφωνεῖ·

Εὐλογία Κυρίου καί ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καί φιλανθρωπίᾳ, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Καί εὐθύς ὁ Ἱερεύς τήν Ἀπόλυσιν·

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπίς ἡμῶν, Κύριε, δόξα σοι.

Ὁ Ἀναγνώστης·

Δόξα Πατρί. Καί νῦν. Ἀμήν. Κύριε, ἐλέησον· (γ΄) Πάτερ ἅγιε, εὐλόγησον.

Εἶτα ὁ Ἱερεύς, ποιεῖ τήν μεγάλην ἀπόλυσιν· καί ἐν μέν τῷ Σαββάτῳ ἄρχεται λέγων Ὁ ἀναστάς ἐκ νεκρῶν ἤ ἐν Δεσποτικῇ ἑορτῇ τό χαρακτηριστικόν αὐτῆς, ἐν ἄλλῃ δέ ἡμέρᾳ·

Χριστός ὁ ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καί παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου καί βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καί καλλινίκων μαρτύρων· τῶν ὁσίων καί θεοφόρων πατέρων ἡμῶν· τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ τήν μνή-

μην ἐπιτελοῦμεν, καί πάντων τῶν Ἁγίων, ἐλεήσαι καί σώσαι ἡμᾶς, ὡς ἀγαθός καί φιλάνθρωπος.

Εἶτα, τό ἐπισφράγισμα·

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.

Ὁ Χορός· Ἀμήν.

# TOY AKOLOY - UIA

Ὁ Ἱερεύς, ἔμπροσθεν τῆς ὡραίας πύλης ἱστάμενος, βάλλει εὐλογητόν, καί λέγει·

Δόξα Σοι, ὁ Θεός ἡμῶν, δόξα Σοι. Ἁγία Τριάς ὁ Θεός ἡμῶν, δόξα Σοι.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τό Πνεῦμα τῆς ἀληθεί-ας, ὁ πανταχοῦ παρών καί τά πάντα πληρῶν, ὁ θησαυρός τῶν ἀγαθῶν καί ζωῆς χορηγός, ἐλθέ καί σκήνωσον ἐν ἡμῖν, καί καθάρισον ἡμᾶς ἀπό πάσης κηλῖδος καί σῶσον, Ἀγαθέ, τάς ψυχάς ἡμῶν.

Ὁ Ἀναγνώστης λέγει τό Τρισάγιον.

Εἶτα ὁ Ἱερεύς ἐκφωνεῖ·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα ὁ Ἀναγνώστης λέγει τό Κύριε ἐλέησον ιβ´, Δόξα, Καί νῦν. Δεῦτε προσκυνήσωμεν γ´, τόν Ν´ ψαλμόν καί τό Πιστεύω εἰς ἕνα Θεόν. Ἐν συνεχείᾳ δέ ἐάν εἶναι Κυριακή ἀναγινώσκει τόν Τριαδικόν κανόνα τοῦ ἐνδιατάκτου ἤχου, καί ψάλλονται τά τέσσαρα Τριαδικά Μεγαλυνάρια, ἅτινα εἶναι καταχωριζόμενα ἐν τῷ Μεγάλῳ Ὡρολογίῳ.

Ἄξιον ἐστιν ὡς άληθῶς, τήν ὑπέρθεον ὑμνεῖν Τριάδα...

Ἄξιον ἐστιν ὡς ἀληθῶς, τοῦ δοξάζειν σε τόν Θεόν Λό-γον...

Ὑμνήσωμεν πάντες θεοπρεπῶς, ᾄσμασιν ἐνθέοις...

Ἐκ νεκρῶν ἰδοῦσα τόν σόν Υἱόν, ἄχραντε Παρθένε...

Εἶτα ὁ Ἀναγνώστης λέγει τό Τρισάγιον, καί ἀναγινώ-σκει τήν Ὑπακοήν τοῦ ἤχου. Ὅταν δέ τύχῃ ἐκτός Κυρια-κῆς, Δεσποτική ἤ Θεομητορική ἑορτή, ἤ ἑορταζομένου ἁγί-ου, τότε ἀντί τοῦ Τριαδικοῦ κανόνος καί τῶν Τριαδικῶν Μεγαλυναρίων, ψάλλεται ἡ Λιτή, ὡς ἐστί ἐν τῷ Μηναίῳ. Μετά δέ τό Τρισάγιο, ἀντί τῆς Ὑπακοῆς λέγεται τό ἀπολυ-τίκιο τῆς ἑορτῆς, καί ὁ Ἀναγνώστης συνεχίζων λέγοντας τό Κύριε ἐλέησον μ'. Δόξα, Καί νῦν. Τήν τιμιωτέραν. Ἐν ὀνό-ματι Κυρίου εὐλόγησον πάτερ.

Ὁ Ἱερεύς·

Ὁ Θεός οἰκτειρήσαι ἡμᾶς καί εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τό πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καί ἐλεήσαι ἡμᾶς.

(Καί εὐθύς.)

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καί ἐλέησον.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους πάσης ἀρχῆς καί ἐξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα καί τοῦ φιλοχρίστου ἡμῶν στρατοῦ.

Ἔτι δεόμεθα ὑπέρ τοῦ διαφυλαχθῆναι τήν ἁγίαν Ἐκκλησίαν καί τήν πόλιν (ἤ χώραν ἤ νῆσον) ταύτην ἀπό ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς, ἀλλοφύλων καί ἐμφυλίου πολέμου· καί ὑπέρ τοῦ ἵλεων, εὐμενῆ καί εὐδιάλλακτον γενέσθαι τόν ἀγαθόν καί φιλάνθρωπον Θεόν ἡμῶν, τοῦ ἀποστρέψαι καί διασκεδάσθαι πᾶσαν ὀργήν καί νόσον τήν καθ᾽ ἡμῶν κινουμένην, καί ρύσασθαι ἡμᾶς ἐκ τῆς δικαίας αὐτοῦ ἀπειλῆς καί ἐλεῆσαι ἡμᾶς.

Τούτων λεγομένων, ἑκάτερος τῶν χορῶν ψάλλει χῦμα κατ᾽ ἐπανάληψιν πραείᾳ τῇ φωνῇ τό Κύριε ἐλέησον.

Ἔτι δεόμεθα καί ὑπέρ τοῦ εἰσακοῦσαι Κύριον τόν Θεόν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καί ἐλεῆσαι ἡμᾶς.

Οἱ Χοροί ψάλλουν τό Κύριε ἐλέησον (γ΄) (ἐναλλάξ ἀνά μίαν ἑκάτερος).

Ὁ Ἱερεύς·

Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ Σωτήρ ἡμῶν, ἡ ἐλπίς πάντων τῶν περάτων τῆς γῆς καί τῶν ἐν θαλάσσῃ μακράν, καί ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπί ταῖς ἁμαρτίαις, ἡμῶν

καί ἐλέησον ἡμᾶς· Ἐλεήμων γάρ καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί Σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί ἐν συνεχείᾳ ποιεῖ τήν μικράν Ἀπόλυσιν.

Δόξα Σοι, ὁ Θεός, ἡ ἐλπίς ἡμῶν, δόξα σοι. Χριστός ὁ Ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου, Ἁγίας Αὐτοῦ Μητρός, τῶν Ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων, (τοῦ Ἁγίου τῆς ἡμέρας) καί πάντων τῶν Ἁγίων, ἐλεήσαι καί σώσαι ἡμᾶς, ὡς ἀγαθός καί φιλάνθρωπος.

Εὐξώμεθα ὑπέρ εἰρήνης τοῦ κόσμου.

Καί ἡμεῖς, τό Κύριε ἐλέησον, εἰς ἑκάστην δέησιν.

Ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων Χριστιανῶν.

Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους.

Ὑπέρ εὐοδώσεως καί ἐνιασχύσεως τοῦ κατά γῆν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ.

Ὑπέρ τῶν ἀπολειφθέντων πατέρων, καί ἀδελφῶν ἡμῶν.

Ὑπέρ τῶν μισούντων, καί ἀγαπώντων ἡμᾶς.

Ὑπέρ τῶν ἐλεούντων, καί διακονούντων ἡμῖν.

Ὑπέρ τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπέρ αὐτῶν.

Ὑπέρ ἀναρρύσεως τῶν αἰχμαλώτων.

Ὑπέρ τῶν ἐν θαλάσσῃ καλῶς πλεόντων.

Ὑπέρ τῶν ἐν ἀσθενείαις κατακειμένων.

Εὐξώμεθα καί ὑπέρ εὐφορίας τῶν καρπῶν τῆς γῆς.

Καί ὑπέρ πάσης ψυχῆς Χριστιανῶν ὀρθοδόξων.

Μακαρίσωμεν τούς εὐσεβεῖς βασιλεῖς.

Τούς ὀρθοδόξους ἀρχιερεῖς.

Τούς κτίτορας τῆς ἁγίας Ἐκκλησίας ταύτης.

Τούς γονεῖς ἡμῶν, καί διδασκάλους, καί πάντας τούς προαπελθόντας πατέρας, καί ἀδελφούς ἡμῶν, τούς ἐνθάδε εὐσεβῶς κειμένους, καί ἁπανταχοῦ ὀρθοδόξους.

Εἴπωμεν καί ὑπέρ ἑαυτῶν, τό Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

# AKOLOYUIA TOY OR-

Μετά τήν ἀπόλυσιν τοῦ Μεσονυκτικοῦ ὁ Ἱερεύς, εἰσέρχεται ἐν τῷ ἁγίῳ βήματι καί προσκυνεῖ τρίς ἐνώπιον τῆς ἁγίας Τραπέζης· εἶτα βαλών ἐπιτραχήλιον ἐκφωνεῖ·

Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος ἤ ὁ Ἀναγνώστης λέγει τό Τρισάγιον.

Εἶτα ὁ Ἱερεύς ἐκφωνει·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης·

Ἀμήν. Σῶσον, Κύριε, τόν λαόν σου...Δόξα. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ... Καί νῦν. Προστασία φοβερά καί ἀκαταίσχυντε...

Ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ὁ Ἀναγνώστης, μεθ᾽ ἑκάστην Δέησιν·

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς·

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σύ τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης·

Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.

Εἶτα ὁ Ἱερεύς ἐκφωνεῖ·

Δόξα τῇ ἁγίᾳ καί ὁμοουσίῳ καί ζωοποιῷ καί ἀδιαιρέτῳ Τριάδι, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ἀναγινώσκεται ὁ Ἑξάψαλμος μετά πάσης εὐλαβείας καί φόβου Θεοῦ, ὁ δέ Ἱερεύς, ἀναγινώσκει μυστικῶς μετά πάσης κατανύξεως τάς ιβ΄. ταύτας Εὐχάς, ἔμπροσθεν τῆς ἁγίας Τραπέζης. Μετά δέ τήν ἀνάγνωσιν τῶν τριῶν πρώτων ψαλμῶν ὑπό τοῦ Ἀναγνώστου, ὁ Ἱερεύς, ἀναγινώσκει ἔμπροσθεν τῆς εἰκόνος τοῦ Χριστοῦ καί τάς λοιπάς Εὐχάς.

## ΕΥΧΗ ΠΡΩΤΗ

**Ε**ὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεός ἡμῶν, τῷ ἐξαναστήσαντι ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καί ἐμβαλόντι εἰς τό στόμα ἡμῶν λόγον αἰνέσεως, τοῦ προσκυνεῖν καί ἐπικαλεῖσθαι τό ὄνομά σου τό ἅγιον· καί δεόμεθα τοῖς σοῖς οἰκτιρμοῖς· οἷς πάντοτε ἐχρήσω περί τήν ἡμετέραν ζωήν. Καί νῦν ἐξαπόστειλον τήν βοήθειάν σου ἐπί τούς ἑστῶτας πρό προσώπου τῆς ἁγίας δόξης σου, καί ἀπεκδεχομένους τό παρά σοῦ πλούσιον ἔλεος· καί δός αὐτοῖς μετά φόβου καί ἀγάπης πάντοτέ σοι λατρεύειν, αἰνεῖν, ὑμνεῖν, προσκυνεῖν τήν ἀνεκδιήγητόν σου ἀγαθότητα. Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί

προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΔΕΥΤΕΡΑ

Ἐκ νυκτός ὀρθρίζει τό πνεῦμα ἡμῶν πρός σέ, ὁ Θεός ἡμῶν, διότι φῶς τά προστάγματά σου ἐπί τῆς γῆς· δικαιοσύνην καί ἁγιασμόν ἐπιτελεῖν ἐν τῷ φόβῳ σου, συνέτισον ἡμᾶς. Σέ γάρ δοξάζομεν τόν ὄντως ὄντα Θεόν ἡμῶν· κλῖνον τό οὖς σου καί ἐπάκουσον ἡμῶν. Καί μνήσθητι, Κύριε, τῶν συμπαρόντων καί συνευχομένων ἡμῖν πάντων κατ᾽ ὄνομα, καί σῶσον αὐτούς τῇ δυνάμει σου· εὐλόγησον τόν λαόν σου, καί ἁγίασον τήν κληρονομίαν σου· εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, καί παντί τῷ λαῷ σου. Ὅτι ηὐλόγηται καί δεδόξασται τό πάντιμον καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΤΡΙΤΗ

Ἐκ νυκτός ὀρθρίζει τό πνεῦμα ἡμῶν πρός σέ, ὁ Θεός, διότι φῶς τά προστάγματά σου. Δίδαξον ἡμᾶς, ὁ Θεός τήν δικαιοσύνην σου, τάς ἐντολάς σου, καί τά δικαιωματά σου. Φώτισον τούς ὀφθαλμούς τῶν διανοιῶν ἡμῶν, μήποτε ὑπνώσωμεν ἐν ἁμαρτίαις εἰς θάνατον· ἀπέλασον πάντα ζόφον ἀπό τῶν καρδιῶν ἡμῶν· χάρισαι ἡμῖν τόν τῆς δικαιοσύνης ἥλιον, καί ἀνεπηρέαστον τήν ζωήν ἡμῶν διαφύλαξον ἐν τῇ σφραγῖδι τοῦ Ἁγίου σου Πνεύματος· κατεύθυνον τά διαβήματα ἡμῶν εἰς ὁδόν εἰρήνης· δός ἡμῖν ἰδεῖν τόν ὄρθρον καί τήν ἡμέραν ἐν ἀγαλιάσει, ἵνα σοί τάς ἑωθινάς ἀναπέμπωμεν εὐχάς. Ὅτι σόν τό κράτος καί σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις, καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΤΕΤΑΡΤΗ

Δέσποτα ὁ Θεός, ὁ ἅγιος καί ἀκατάληπτος, ὁ εἰπών, ἐκ σκότους φῶς λάμψαι, ὁ ἀναπαύσας ἡμᾶς ἐν τῷ τῆς νυκτός ὕπνῳ, καί διαναστήσας πρός δοξολογίαν καί ἱκεσίαν τῆς σῆς ἀγαθότητος, δυσωπούμενος ὑπό τῆς ἰδίας σου εὐσπλαγχνίας, πρόσδεξαι ἡμᾶς καί νῦν προσκυνοῦντάς σε, καί κατά δύναμιν εὐχαριστοῦντάς σοι· καί δώρησαι ἡμῖν πάντα τά πρός σωτηρίαν αἰτήματα. Ἀνάδειξον ἡμᾶς υἱούς φωτός καί ἡμέρας, καί κληρονόμους τῶν αἰωνίων σου ἀγαθῶν. Μνήσθητι, Κύριε, ἐν τῷ πλήθει τῶν οἰκτιρμῶν σου, καί παντός τοῦ λαοῦ σου, τῶν συμπαρόντων καί συνευχομένων ἡμῖν, καί πάντων τῶν ἀδελφῶν ἡμῶν, τῶν ἐν γῇ, τῶν ἐν θαλάσσῃ, τῶν ἐν παντί τόπῳ τῆς δεσποτείας σου, δεομένων τῆς σῆς φιλανθρωπίας καί βοηθείας, καί πᾶσι χορήγησον τό μέγα σου ἔλεος. Ἵνα, σεσωσμένοι ψυχῇ τε καί σώματι πάντοτε διαμένοντες, μετά παρρησίας δοξάζωμεν τό θαυμαστόν καί εὐλογημένον ὄνομά σου, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

## ΕΥΧΗ ΠΕΜΠΤΗ

Ἀγαθῶν θησαυρέ, πηγή ἀέναος, Πάτερ ἅγιε, θαυμαστοποιέ, παντοδύναμε, καί παντοκράτορ, πάντες σέ προσκυνοῦμεν καί σοῦ δεόμεθα, τά σά ἐλέη καί τούς σούς οἰκτιρμούς ἐπικαλούμενοι, εἰς βοήθειαν καί ἀντίληψιν τῆς ἡμετέρας ταπεινώσεως. Μνήσθητι, Κύριε, τῶν σῶν ἱκετῶν· πρόσδεξαι πάντων ἡμῶν τάς ἑωθινάς δεήσεις, ὡς θυμίαμα ἐνώπιόν σου, καί μηδένα ἡμῶν ἀδόκιμον ποιήσῃς, ἀλλά πάντας ἡμᾶς περιποίησαι διά τῶν οἰκτιρμῶν σου. Μνήσθητι, Κύριε, τῶν ἀγρυπνούντων καί ψαλλόντων εἰς δόξαν σήν, καί τοῦ μονογενοῦς σου Υἱοῦ καί Θεοῦ, ἡμῶν, καί τοῦ Ἁγίου σου Πνεύματος. Γενοῦ αὐτῶν βοηθός καί ἀντιλήπτωρ· πρόσδεξαι αὐτῶν τάς ἱκεσίας εἰς τό ὑπερουράνιον καί νοε-

ρόν σου θυσιαστήριον. Ὅτι σύ εἶ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΚΤΗ

Εὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεός τῶν σωτηρίων ἡμῶν, ὅτι πάντα ποιεῖς εἰς εὐεργεσίαν τῆς ζωῆς ἡμῶν, ἵνα διά παντός πρός σέ ἀποβλέπωμεν, τόν σωτῆρα καί εὐεργέτην τῶν ἡμετέρων ψυχῶν· ὅτι διανέπαυσας ἡμᾶς ἐν τῷ παρελθόντι τῆς νυκτός μέτρῳ, καί ἐξήγειρας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καί ἔστησας εἰς προσκύνησιν τοῦ τιμίου ὀνόματός σου. Διό δεόμεθά σου, Κύριε· Δός ἡμῖν χάριν καί δύναμιν, ἵνα καταξιωθῶμεν ψάλλειν σοι συνετῶς, καί προσεύχεσθαι ἀδιαλείπτως, ἐν φόβῳ καί τρόμῳ, τήν ἑαυτῶν σωτηρίαν κατεργαζόμενοι, διά τῆς ἀντιλήψεως τοῦ Χριστοῦ σου. Μνήσθητι, Κύριε, καί τῶν ἐν νυκτί πρός σέ βοώντων· ἐπάκουσον αὐτῶν, καί ἐλέησον, καί σύντριψον ὑπό τούς πόδας αὐτῶν τούς ἀοράτους καί πολεμίους ἐχθρούς. Σύ γάρ εἶ ὁ βασιλεύς τῆς εἰρήνης, καί σωτήρ τῶν ψυχῶν ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΒΔΟΜΗ

Ὁ Θεός καί Πατήρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ἐξαναστήσας ἡμᾶς ἐκ τῶν κοιτῶν ἡμῶν, καί ἐπισυναγαγών ἐπί τήν ὥραν τῆς προσευχῆς, δός ἡμῖν χάριν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, καί πρόσδεξαι ἡμῶν τάς κατά δύναμιν εὐχαριστίας· καί δίδαξον ἡμᾶς τά δικαιώματά σου, ὅτι προσεύξασθαι καθ᾿ ὅ δεῖ οὐκ οἴδαμεν, ἐάν μή σύ, Κύριε, τῷ Πνεύματί σου τῷ Ἁγίῳ ὁδηγήσῃς ἡμᾶς. Διό δεόμεθά σου· Εἴ τι ἡμάρτομεν μέχρι τῆς παρούσης ὥρας, ἐν λόγῳ, ἤ ἔργῳ, ἤ κατά διάνοιαν, ἑκουσίως, ἤ ἀκουσίως, ἄνες, ἄφες,

συγχώρησον. Ἐάν γάρ ἀνομίας πατατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; Ὅτι παρά σοί ἡ ἀπολύτρωσις. Σύ εἶ μόνος ἅγιος, βοηθός, κραταιός ὑπερασπιστής τῆς ζωῆς ἡμῶν, καί ἐν σοί ἡ ὕμνησις ἡμῶν διαπαντός. Εἴη τό κράτος τῆς βασιλείας σου εὐλογημένον καί δεδοξασμένον, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΟΓΔΟΗ

Κύριε ὁ Θεός ἡμῶν, ὁ τήν τοῦ ὕπνου ῥᾳθυμίαν ἀποσκεδάσας ἀφ᾽ ἡμῶν, καί συγκαλέσας ἡμᾶς κλήσει ἁγίᾳ, τοῦ καί ἐν νυκτί ἐπᾶραι τάς χεῖρας ἡμῶν, καί ἐξομολογεῖσθαί σοι ἐπί τά κρίματα τῆς δικαιοσύνης σου, πρόσδεξαι τάς δεήσεις ἡμῶν, τάς ἐντεύξεις, τάς ἐξομολογήσεις, τάς νυκτερινάς λατρείας· καί χάρισαι ἡμῖν ὁ Θεός, πίστιν ἀκαταίσχυντον, ἐλπίδα βεβαίαν, ἀγάπην ἀνυπόκριτον. Εὐλόγησον ἡμῶν εἰσόδους καί ἐξόδους, πράξεις, ἔργα, λόγους, ἐνθυμήσεις· καί δός ἡμῖν καταντῆσαι εἰς τάς ἀρχάς τῆς ἡμέρας, αἰνοῦντας, ὑμνοῦντας, εὐλογοῦντας τῆς σῆς ἀφράστου χρηστότητος τήν ἀγαθότητα. Ὅτι ηὐλόγηται τό πανάγιόν σου ὄνομα, καί δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΝΑΤΗ

Λάμψον, Δέσποτα φιλάνθρωπε, ἐν ταῖς καρδίαις ἡμῶν τό τῆς σῆς θεογνωσίας φῶς ἀκήρατον, καί τούς τῆς διανοίας ἡμῶν ὀφθαλμούς διάνοιξον, εἰς τήν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καί τόν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα πάσας τάς σαρκικάς ἐπιθυμίας καταπατήσαντες, πνευματικήν πολιτείαν μετέλθωμεν, πάντα τά πρός εὐαρέστησιν τήν σήν φρονοῦντες καί πράττοντες. Ὅτι σύ εἶ ὁ ἁγιασμός καί ὁ φωτισμός ἡμῶν, καί σοί

τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΔΕΚΑΤΗ

Κύριε ὁ Θεός ἡμῶν, ὁ τήν διά μετανοίας ἄφεσιν τοῖς ἀνθρώποις δωρησάμενος, καί τύπον ἡμῖν ἐπιγνώσεως ἁμαρτημάτων καί ἐξομολογήσεως, τήν τοῦ προφήτου Δαυίδ μετάνοιαν πρός συγχώρησιν ὑποδείξας· αὐτός, Δέσποτα, πολλοῖς ἡμᾶς καί μεγάλοις περιπεπτωκότας πλημμελήμασιν, ἐλέησον κατά τό μέ-γα σου ἔλεος, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τά ἀνομήματα ἡμῶν· ὅτι σοί ἡμάρτομεν, Κύριε, τῷ καί τά ἄδηλα καί τά κρύφια τῆς καρδίας τῶν ἀνθρώπων γινώσκοντι, καί μόνῳ ἔχοντι ἐξουσίαν ἀφιέναι ἁμαρτίας. Καρδίαν δέ καθαράν κτίσας ἐν ἡμῖν, καί πνεύματι ἡγεμονικῷ στηρίξας ἡμᾶς, καί τήν ἀγαλλίασιν τοῦ σωτηρίου σου γνωρίσας ἡμῖν, μή ἀπορρίψῃς ἡμᾶς ἀπό τοῦ προσώπου σου· ἀλλ᾽ εὐδόκησον, ὡς ἀγαθός καί φιλάνθρωπος, μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, προσφέρειν σοι θυσίαν δικαιοσύνης, καί ἀναφοράν ἐν τοῖς ἁγίοις σου θυσιαστηρίοις. Ἐλέει καί οἰκτιρμοῖς, καί φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ Παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΕΝΔΕΚΑΤΗ

Ὁ Θεός ὁ Θεός ἡμῶν, ὁ τάς νοεράς καί λογικάς ὑποστησάμενος δυνάμεις τῷ σῷ θελήματι, σοῦ δεόμεθα, καί σέ ἱκετεύομεν· Πρόσδεξαι ἡμῶν μετά τῶν κτισμάτων σου πάντων, τήν κατά δύναμιν δοξολογίαν, καί ταῖς πλουσίαις τῆς σῆς ἀγαθότητος ἀντάμειψαι δωρεαῖς· ὅτι σοί κάμπτει πᾶν γόνυ ἐπουρανίων καί ἐπιγείων καί καταχθονίων, καί πᾶσα πνοή καί κτίσις ὑμνεῖ τήν ἀκατάληπτόν σου δόξαν· μόνος γάρ εἶ Θεός ἀληθινός καί πολυέλεος. Ὅτι σέ αἰνοῦσι

πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καί σοί τήν δόξαν ἀναπέμπουσι, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

## ΕΥΧΗ ΔΩΔΕΚΑΤΗ

Αἰνοῦμεν, ὑμνοῦμεν, εὐλογοῦμεν, καί εὐχαριστοῦμέν σοι, ὁ Θεός τῶν πατέρων ἡμῶν, ὅτι παρήγαγες τήν σκιάν τῆς νυκτός, καί ἔδειξας ἡμῖν πάλιν τό φῶς τῆς ἡμέρας. ᾿Αλλ᾿ ἱκετεύομεν τήν σήν ἀγαθότητα· ῾Ιλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, καί πρόσδεξαι τήν δέησιν ἡμῶν ἐν τῇ μεγάλῃ σου εὐσπλαγχνίᾳ, ὅτι πρός σέ καταφεύγομεν, τόν ἐλεήμονα καί παντοδύναμον Θεόν. Λάμψον ἐν ταῖς καρδίαις ἡμῶν τόν ἀληθινόν ἥλιον τῆς δικαιοσύνης σου· φώτισον τόν νοῦν ἡμῶν, καί τάς αἰσθήσεις ὅλας διατήρησον, ἵνα, ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατοῦντες τήν ὁδόν τῶν ἐντολῶν σου, κτantήσωμεν εἰς τήν ζωήν τήν αἰώνιον· ὅτι παρά σοί ἐστιν ἡ πηγή τῆς ζωῆς καί ἐν ἀπολαύσει γενέσθαι καταξιωθῶμεν τοῦ ἀπροσίτου φωτός. ῞Οτι σύ εἶ ὁ Θεός ἡμῶν καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

Καί ἀσπασάμενος τήν δεσποτικήν εἰκόνα, εἰσέρχεται διά τῆς νοτίου πύλης ἐν τῷ ἱερῷ βήματι. Πληρωθέντος δέ τοῦ ἑξαψάλμου λέγει ὁ ῾Ιερεύς, ἐνώπιον τῆς ἁγίας Τραπέζης, τά εἰρηνικά. Μεθ᾿ ἑκάστην δέ Δέησιν οἱ Χοροί, ἐναλλάξ, ψάλλουσιν ἅπαξ, τό· Κύριε ἐλέησον.

᾿Εν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῆς ἄνωθεν εἰρήνης καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου Οἴκου τούτου, καί τῶν μετά πίστεως, εὐλαβείας καί φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ κλήρου καί τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ συμπολεμῆσαι καί ὑποτάξαι ὑπό τό κράτος αὐτοῦ, πάντα ἐχθρόν καί πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς πόλεως (ἤ τῆς χώρας, ἤ τῆς κώμης, ἤ τῆς νήσου, ἤ τῆς ἁγίας Μονῆς) ταύτης, πάσης πόλεως, χώρας, καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καί καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Μετά τήν ἐκφώνησιν τοῦ Ἱερέως, οἱ χοροί ἐναλλάξ ψάλλουσι τετράκις τό, Θεός Κύριος, εἰς τόν τυχόντα ἦχον· εἶτα τό Ἀναστάσιμον Ἀπολυτίκιον, δίς, καί τό Θεοτοκίον. Εἰ δέ συμπέσῃ καί ἑορταζόμενος Ἅγιος, τότε ψάλλουσιν ἅπαξ τό Ἀναστάσιμον, ἅπαξ τοῦ Ἁγίου, εἶτα τό Θεοτοκίον, κατά τόν ἦχον τοῦ Ἀπολυτικίου τοῦ ἁγίου· μεθ᾽ ὅ ὁ Ἱερεύς λέγει τήν μικράν Συναπτήν.

Ὁ Διάκονος·

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί Κύριε.

Ὁ Ἱερεύς·

Ὅτι σόν τό κράτος, καί σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις, καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Μετά τήν Β΄ στιχολογίαν ὁ Διάκονος λέγει·

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί Κύριε.

Ὁ Ἱερεύς·

Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καί τῷ Υἱῷ καί τό ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα οἱ χοροί ψάλλουσι τά Ἀναστάσιμα Καθίσματα· εἰ δέ ἐστι καί μνήμη ἑορταζομένου ἁγίου ψάλλουσι τελευταῖον καί ἕν Κάθισμα τοῦ Ἁγίου μετά τοῦ Θεοτοκίου· ἐφεξῆς τά Ἀναστάσιμα Εὐλογητάρια. Μετά ταῦτα ὁ Ἱερεύς λέγει ἐκφώνως τήν μικράν Συναπτήν.

Ὁ Διάκονος·

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί Κύριε.

Ὁ Ἱερεύς·

῞Οτι ηὐλόγηται σου τό ὄνομα, καί δεδόξασταί σου ἡ βασιλεία, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ῾Αγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

Εἶτα ὁ ᾿Αναγνώστης, ἀναγινώσκει τήν ῾Υπακοήν τοῦ ἤχου.

Εἶτα δέ οἱ χοροί ψάλλουσιν τούς ᾿Αναβαθμούς τοῦ ἤχου, καί τό ᾿Αναστάσιμον Προκείμενον· μεθ᾿ ὅ ψάλλουσι τούς Κανόνας τούς ᾿Αναστασίμους εἰς δ' καί τοῦ Μηναίου εἰς δ'. ᾿Από γ΄. ᾿Ωδῆς ὁ ῾Ιερεύς λέγει τήν μικρά συναπτήν.

῾Ο Διάκονος·

῎Ετι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

῾Ο Χορός· Κύριε ἐλέησον.

᾿Αντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

῾Ο Χορός· Σοί Κύριε.

῾Ο ῾Ιερεύς·

῞Οτι Σύ εἶ ὁ Θεός ἡμῶν, καί Σύ τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

Μετά δέ τήν ἐκφώνησιν, εἴ ἐστι καί μνήμη ἑορταζομένου ῾Αγίου, ὁ ᾿Αναγνώστης ἀναγινώσκει τό ᾿Αναστάσιμον Κοντάκιον καί τό Οἶκον, εἶτα ὁ μέν ἀριστερός χορός ψάλλει τό Κάθισμα τοῦ ῾Αγίου, ὁ δέ δεξιός χορός τό Θεοτοκίον. ᾿Εάν δέ μή ὑπάρχοντος ἑορταζόμενος ἅγιος, τό μέν ᾿Αναστάσιμον Κοντάκιον καί ὁ Οἶκος ἀναγινώσκονται μετά τήν ἕκτην

᾿Ωδήν, οἱ δέ χοροί ψάλλουσιν τό Κάθισμα τοῦ ῾Αγίου καί τό Θεοτοκίον, ἐπισυνάπτοντες καί τήν δ΄, ε΄, καί ς΄ ᾿Ωδήν τῶν Κανόνων. Εἶτα ὁ ῾Ιερεύς λέγει τήν μικράν Συναπτήν.

῾Ο Διάκονος·

῎Ετι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

῾Ο Χορός· Κύριε ἐλέησον.

᾿Αντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

῾Ο Χορός· Σοί Κύριε.

῾Ο ῾Ιερεύς·

Σύ γάρ εἶ ὁ βασιλεύς τῆς εἰρήνης, καί σωτήρ τῶν ψυχῶν ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

Εἶτα ἀναγινώσκονται τό ᾿Αναστάσιμον Κοντάκιον καί ὁ Οἶκος ἤ τοῦ ἑορταζομένου ῾Αγίου, καί τό Μηνολόγιον. ᾿Εν συνεχείᾳ δέ οἱ χοροί ἄρχονται νά ψάλλουσιν τάς Καταβασίας τῆς ἐκκλησιαστικῆς περιόδου, μέχρι τῆς η΄ ᾿Ωδῆς.

᾿Εν ταῖς Κυριακαῖς (ἄνευ Θεομητορικῆς ἑορτῆς) μετά τήν Καταβασίαν τῆς η' ᾿Ωδῆς ἀναγινώσκεται τό ἐνδιάτακτον ᾿Εωθινόν Εὐαγγέλιον. Εἰς τάς ἄλλας ἡμέρας ὅμως ἐάν ὑπάρχει ἑορταζόμενος ῞Αγιος καί ἔχει Εὐαγγέλιον, τότε αὐτό ἀναγινώσκεται μετά τά Καθίσματα καί τοῦ πρώτου ᾿Αντιφώνου τοῦ δ' ἤχου.

Εἶτα ὁ Διάκονος ἐκφωνεῖ·

Τοῦ Κυρίου δεηθῶμεν.

῾Ο Χορός· Κύριε ἐλέησον.

῾Ο ῾Ιερεύς·

῞Οτι ἅγιος εἶ ὁ Θεός ἡμῶν, καί ἐν ἁγίοις ἐπαναπαύῃ καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

Οἱ Χοροί ψάλλουσιν ἐναλλάξ (ἐκ γ΄)

Πᾶσα πνοή αἰνεσάτω τόν Κύριον.

Εἶτα ὁ Διάκονος ἐκφωνεῖ·

Καί ὑπέρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τόν Θεόν ἡμῶν ἱκετεύσωμεν· Σοφία· ᾿Ορθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

῾Ο ῾Ιερεύς· Εἰρήνη πᾶσι.

῾Ο Χορός·

Καί τῷ πνεύματί σου.

῾Ο ῾Ιερεύς·

᾿Εκ τοῦ κατά... ἁγίου Εὐαγγελίου, τό ᾿Ανάγνωσμα.

῾Ο Χορός· Δόξα σοι, Κύριε, δόξα σοι.

῾Ο Διάκονος· Πρόσχωμεν.

Καί ἀναγινώσκει ὁ ῾Ιερεύς κατά τάς Κυριακάς, τό ἐνδιάτακτον ᾿Εωθινόν Εὐαγγέλιον, ἐν τῇ δεξιᾷ πλευρᾷ τῆς ἁγίας Τραπέζης, κατά δέ τάς ἄλλας ἡμέρας ἤ ἑορτάς, τό Εὐαγγέλιον τοῦ ὄρθρου, ἀπό τῆς ὡραίας πύλης.

Εἶτα, ἐν Κυριακῇ, τοῦ χοροῦ ψάλλοντος τόν στίχον ᾿Ιδού γάρ ἀλήθειαν ἠγάπησας τοῦ Ν' ψαλμοῦ, ὁ ῾Ιερεύς, ἐξέρχεται ἐκ τῆς ὡραίας πύλης μέ τό ἱερόν Εὐαγγέλιον, καί ἵσταται ἐν τῷ μέσῳ τοῦ ναοῦ, ἔνθα γίνεται ὁ ἀσπασμούς αὐτοῦ· εἶτα ἀποθέτει αὐτό εἰς τό προσκυνητάριον μέχρι τέλους τῆς θείας Λειτουργίας.

Μετά δέ, τήν συμπλήρωσιν τοῦ Ν΄ ψαλμοῦ, καί τῶν ὑπολοίπων Τροπαρίων, ὁ ῾Ιερεύς ἤ ὁ Διάκονος λέγει.

Σῶσον, ὁ Θεός, τόν λαόν σου, καί εὐλόγησον τήν κληρονομίαν σου· ἐπίσκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν Ὀρθοδόξων, καί κατάπεμψον ἐφ᾽ ἡμᾶς τά ἐλέη σου τά πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων, Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου, καί βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καί οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας καί Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καί Θεοδώρου τοῦ Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καί Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων· τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν (τοῦ ἁγίου τοῦ Ναοῦ, ἐφ᾽ ὅσον δέν ἐμνημονεύθη ἐν τοῖς ἄνω)· τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης· (τοῦ ἁγίου τῆς ἡμέρας, ἐάν ἑορτάζηται) καί πάντων σου τῶν Ἁγίων. Ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου, καί ἐλέησον ἡμᾶς.

Ὁ Χορός· Κύριε, ἐλέησον (ιβ´).

Ὁ Ἱερεύς·

Ἐλέει καί οἰκτιρμοῖς, καί φιλανθρωπίᾳ τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

῾Ο Διάκονος·

Τήν Θεοτόκον καί Μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες, μεγαλύνωμεν.

Καί λαβών τό θυμιατόν ὁ Διάκονος θυμιᾷ τήν ἁγίαν Τράπεζαν, τό ἱερατεῖον, εἶτα θυμιᾷ ἀπό τῆς Ὡραίς Πύλης τόν Δεσποτικόν θρόνον, τάς εἰκόνας τοῦ τέμπλου καί ὅλον τόν Ναόν, καί οἱ χοροί ψάλλουσιν τήν θ' ᾠδήν, τῆς Θεοτόκου, «Τήν τιμιωτέραν τόν Χερουβίμ.» μέ τούς ἕξ στίχους, «Μεγαλύνει ἡ ψυχή μου τόν Κύριον». Εἰ δέ ὑπάρχει Δεσποτική ἤ Θεομητορική ἑορτή ψάλλεται ἡ θ' ᾠδή τῆς ἑορτῆς, καί τέλος ψάλλεται ἡ θ' ᾠδή τῶν Καταβασιῶν.

῾Ο Διάκονος·

῎Ετι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

῾Ο Χορός· Κύριε ἐλέησον.

᾿Αντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

῾Ο Χορός· Σοί, Κύριε.

῾Ο ῾Ιερεύς·

῞Οτι σέ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν Οὐρανῶν, καί σοί τήν δόξαν ἀναπέμπουσι, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν, καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

Εἶτα οἱ χοροί ψάλλουσιν τό ἐνδιάτακτο ἑωθινόν ᾿Εξαποστειλάριον καί τοῦ ῾Αγίου ἤ τῆς ἑορτῆς ἐάν ὑπάρχει, τά στιχηρά τῶν αἴνων, τήν δοξολογίαν, καί τέλος ἐάν εἶναι Κυ-

ριακή τό, «Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν» ἤ ἄλλη ἡμέρα τό ἀπολυτίκιον τῆς ἑορτῆς ἤ τοῦ Ἁγίου.

Ὁ Ἱερεύς δέ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καί ὁ Διάκονος, στάς πλαγίως ἐκ δεξιῶν αὐτοῦ, λέγει τήν Ἐκτενή Δέησιν, χαμηλοφώνως.

Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καί μοναχῶν, καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει (ἤ τῇ χώρᾳ, ἤ τῇ κώμῃ, ἤ τῇ νήσῳ) καί ἐνορία ταύτῃ, τῶν ἐνοριτῶν ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης (ἤ τῶν ἀδελφῶν τῆς ἱερᾶς Μονῆς ταύτης καί τῶν εὐλαβῶν προσκυνητῶν).

[Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καί ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἤ Μονῆς) ταύτης, καί ὑπέρ πάντων τῶν προαναπαυσαμένων πατέρων καί ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καί ἁπανταχοῦ ὀρθοδόξων.]

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καί καλλιεργούντων ἐν τῷ ἁγίῳ καί πανσέπτῳ Ναῷ τούτῳ, κοπιώ-

ντων, ψαλλόντων, καί ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τό παρά σοῦ μέγα καί πλούσιον ἔλεος.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Διάκονος λέγει·

Πληρώσωμεν τήν ἑωθινήν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστόν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καί ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦΚυρίου αἰτησώμεθα.

Τά καλά καί συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καί εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τόν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καί μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανά τά τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καί καλήν ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεύς χαμηλοφώνως·

῞Οτι Θεός ἐλέους, οἰκτιρμῶν, καί φιλανθρωπίας ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Διάκονος· ᾿Αμήν.

῾Ο ῾Ιερεύς· Εἰρήνη πᾶσι.

῾Ο Διάκονος, ὑποκλινόμενος, λέγει·
Τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

῾Ο ῾Ιερεύς χαμηλοφώνως λέγει τήν εὐχήν ταύτην·

**Κ**ύριε, ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καί τά ταπεινά ἐφορῶν, καί τῷ παντεφόρῳ σου ὄμματι ἐπιβλέπων ἐπί πᾶσαν τήν κτίσιν, σοί ἐκλίναμεν τόν αὐχένα τῆς ψυχῆς καί τοῦ σώματος, καί δεόμεθά σου. ῞Αγιε ῾Αγίων, ἔκτεινον τήν χεῖρά σου τήν ἀόρατον ἐξ ἁγίου κατοικητηρίου σου, καί εὐλόγησον πάντας ἡμᾶς· καί εἴ τι ἡμάρτομεν ἑκουσίως ἤ ἀκουσίως, ὡς ἀγαθός καί φιλάνθρωπος Θεός, συγχώρησον, δωρούμενος ἡμῖν τά ἐγκόσμια καί ὑπερκόσμια ἀγαθά σου.

Σόν γάρ ἐστι τό ἐλεεῖν καί σῴζειν ἡμᾶς, ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Διάκονος·
᾿Αμήν. Σοφία. Εὐλόγησον, Δέσποτα.

῾Ο ῾Ιερεύς·

῾Ο ὤν εὐλογητός Χριστός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Διάκονος·

᾿Αμήν. Στερεώσαι Κύριος ὁ Θεός τήν ἁγίαν καί ἀμώμητον πίστιν τῶν εὐσεβῶν καί ὀρθοδόξων Χριστιανῶν, σύν

τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καί τῇ πόλει (ἤ τῇ Μονῇ ἤ τῇ χώρᾳ, ἤ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων.

Ὁ Ἱερεύς·

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὁ Διάκονος·

Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν...

Ὁ Ἱερεύς·

Δόξα σοι ὁ Θεός, ἡ ἐλπίς ἡμῶν, δόξα σοι.

Ὁ Διάκονος·

Δόξα, Καί νῦν. Κύριε, ἐλέησον (γ΄) Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς, λέγει τήν ἀπόλυσιν.

Ο ....[ἀναστάς ἐκ νεκρῶν] Χριστός ὁ ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καί παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου προδρόμου καί βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων· τῶν Ὁσίων καί θεοφόρων πατέρων ἡμῶν· τοῦ ἐν ἁγίοις πατρός ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου· (ἤ Βασιλείου ἀρχιεπισκόπου Καισαρείας, οὐρανοφάντορος, τοῦ Μεγάλου)· (τοῦ ἁγίου τοῦ ναοῦ)· τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας) καί πάντων τῶν Ἁγίων, ἐλεήσαι καί σώσαι ἡμᾶς, ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.

Ὁ Διάκονος· Ἀμήν.

Εἶτα εἰς τό τέλος τῆς δοξολογίας ὁ Διάκονος λέγει·

Καιρός τοῦ ποιῆσαι τῷ Κυρίῳ. Δέσποτα ἅγιε εὐλόγησον.

῾Ο ῾Ιερεύς, βαλών τήν δεξιάν αὐτοῦ χεῖρα εἰς τήν κεφαλήν τοῦ Διακόνου λέγει.

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Διάκονος·

᾽Αμήν. Εὖξαι ὑπέρ ἐμοῦ, Δέσποτα ἅγιε.

῾Ο ῾Ιερεύς·

Κατευθύναι Κύριος τά διαβήματά σου εἰς πᾶν ἔργον ἀγαθόν.

Καί πάλιν ὁ Διάκονος·

Μνήσθητί μου, Δέσποτα ἅγιε.

῾Ο ῾Ιερεύς·

Μνησθείη σου Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Διάκονος· ᾽Αμήν.

Εἶτα ὁ ῾Ιερεύς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης λέγει·

**Β**ασιλεῦ Οὐράνιε, Παράκλητε, τό Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών καί τά πάντα πληρῶν, ὁ θησαυρός τῶν ἀγαθῶν καί ζωῆς χορηγός, ἐλθέ καί σκήνωσον ἐν ἡμῖν, καί καθάρισον ἡμᾶς ἀπό πάσης κηλῖδος καί σῶσον, Ἀγαθέ, τάς ψυχάς ἡμῶν.

Εἶτα ὁ ῾Ιερεύς προσκυνήσας τρίς, λέγει (ὡς καί ὁ Διάκονος) χαμηλοφώνως·

Δόξα ἐν ὑψίστοις Θεῷ, καί ἐπί γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία (γ΄).

Εἶτα·

Κύριε, τά χείλη μου ἀνοίξεις, καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν σου (δίς).

Ἐν τῷ ναῷ ἑστῶτες· τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν· Θεοτόκε, πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τήν θύραν τοῦ ἐλέους σου.

Καί μετ᾽ εὐλαβείας ἄρχονται τῆς θείας Λειτουργίας.

# AK OLOYUIA THS PROSK OM-

Μέλλων ὁ ῾Ιερεύς τήν θείαν ἐπιτελεῖν μυσταγωγίαν, ὀφείλει προηγουμένως μέν κατηλλαγμένος εἶναι μετά πάντων καί μή ἔχειν τι κατά τινος καί τήν καρδίαν ὅση δύναμις ἀπό πονηρῶν τηρῆσαι λογισμῶν, ἐγκρατεύεσθαί τε μικρόν ἀφ᾽ ἑσπέρας καί ἐγρηγορέναι μέχρι τῆς ἱερουργίας καιροῦ. Τοῦ δέ καιροῦ ἐπιστάντος, μετά τό ποιῆσαι τήν συνήθη τῷ προεστῶτι μετάνοιαν, εἰσέρχεται ἐν τῷ Ναῷ· καί μετά τοῦ Διακόνῳ, ποιοῦσιν ὁμοῦ κατά ᾽Ανατολάς ἔμπροσθεν τῶν κεκλεισμένων ῾Ωραίων Πυλῶν προσκυνήματα τρία, λέγοντες τό· ῾Ο Θεός ἱλάσθητι μοι τῷ ἁμαρτωλῷ.

῾Ο Διάκονος· Εὐλόγησον, Δέσποτα.

῾Ο ῾Ιερεύς·

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Διάκονος· ᾽Αμήν.

῾Ο ῾Ιερεύς·

Δόξα Σοι, ὁ Θεός ἡμῶν, δόξα Σοι. ῾Αγία Τριάς ὁ Θεός ἡμῶν, δόξα Σοι.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τό Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών καί τά πάντα πληρῶν, ὁ θησαυρός τῶν ἀγαθῶν καί ζωῆς χορηγός, ἐλθέ καί σκήνωσον, ἀγαθέ, τάς ψυχάς ἡμῶν.

Ὁ Διάκονος·

Τό Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν.

Ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος· Ἀμήν.

Ὁ Ἱερεύς·

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν· ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος· Δόξα Πατρί.

Κύριε, ἐλέησον ἡμᾶς, ἐπί σοί γάρ πεποίθαμεν· μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ᾽ ἐπίβλεψον καί νῦν, ὡς εὔσπλαχνος, καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· σύ γάρ εἶ Θεός ἡμῶν, καί ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου, καί τό ὄνομά σου ἐπικεκλήμεθα.

Ὁ Ἱερεύς· Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θετόκε· ἐλπίζοντες εἰς σέ, μή ἀστοχήσωμεν· ρυσθείημεν διά σοῦ τῶν περιστάσεων· σύ γάρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Ὁ Διάκονος· Κύριε, ἐλέησον (ιβ΄).

Ἔπειτα ἀσπάζονται τήν εἰκόνα τοῦ Χριστοῦ λέγοντες·

Τήν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ, αἰτούμενοι συγχώρησιν, τῶν πταισμάτων ἡμῶν, Χριστέ ὁ Θεός· βουλήσει γάρ ηὐδόκησας, σαρκί ἀνελθεῖν ἐν τῷ σταυρῷ, ἵνα ρύσῃ οὕς ἔπλασας, ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐ-

χαρίστως βοῶμέν σοι· χαρᾶς ἐπλήρωσας τά πάντα ὁ Σωτήρ ἡμῶν, παραγενόμενος, εἰς τό σῶσαι τόν κόσμον.

Καί τήν εἰκόνα τῆς Θεοτόκου, λέγοντες·

Εὐσπλαγχνίας ὑπάρχουσα πηγή, συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε· βλέψον εἰς λαόν τόν ἁμαρτήσαντα· δεῖξον ὡς ἀεί τήν δυναστείαν σου· εἰς σέ γάρ ἐλπίζοντες, τό χαῖρε βοῶμέν σοι, ὥς ποτε ὁ Γαβριήλ, ὁ τῶν ἀσωμάτων ἀρχιστράτηγος.

Τήν δέ τοῦ Προδρόμου εἰκόνα ἀσπαζόμενοι, λέγουσι·

Μνήμη δικαίου μετ᾿ ἐγκωμίων· σοί δέ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου, Πρόδρομε· ἀνεδείχθης γάρ ὄντως καί προφητῶν σεβασμιώτερος, ὅτι καί ἐν ρείθροις βαπτίσαι κατηξιώθης τόν κηρυττόμενον· Ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καί τοῖς ἐν ᾅδῃ, Θεόν φανερωθέντα ἐν σαρκί, τόν αἴροντα τήν ἁμαρτίαν τοῦ κόσμου, καί παρέχοντα ἡμῖν τό μέγα ἔλεος.

Ἤ τό Κοντάκιον·

Προφῆτα τοῦ Χριστοῦ, καί πρόδρομε τῆς χάριτος, τήν κάραν τήν σήν, ὡς δῶρον ἱερώτατον ἐκ τῆς γῆς εὑράμενοι τάς ἰάσεις πάντοτε λαμβάνομεν· καί γάρ πάλιν ὡς πρότερον, ἐν κόσμῳ κηρύττεις τήν μετάνοιαν.

Ἀσπαζόμενοι δέ τήν εἰκόνα τοῦ ἁγίου τοῦ ναοῦ λέγουσι τό ἀπολυτίκιον αὐτοῦ.

Καί, μετά τό ἀσπασθῆναι τάς εἰκόνας, κλίνουσι μικρόν τάς κεφαλάς αὐτῶν ἔμπροσθεν τῆς ὡραίας πύλης, τοῦ Διακόνου λέγοντος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς λέγει τήν εὐχήν·

Κύριε, ἐξαπόστειλον τήν χεῖρά σου ἐξ ὕψους κατοικητηρίου σου καί ἐνίσχυσόν με εἰς τήν προκειμένην διακονίαν σου, ἵνα ἀκατακρίτως παραστάς τῷ φοβερῷ σου βήματι,

τήν ἀναίμακτον ἱερουργίαν ἐπιτελέσω. Ὅτι σοῦ ἐστιν ἡ δύναμις καί ἡ δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί ποεῖ μικράν ἀπόλυσιν.

Ὁ Διάκονος·

Δόξα, Καί νῦν. Κύριε ἐλέησον (γ΄). Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς·

Χριστός ὁ ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καί παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων, τοῦ ἁγίου (τοῦ ναοῦ), τοῦ ἐν ἁγίοις πατρός ἡμῶν Ἰωάνου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, (ἤ Βασιλείου ἀρχιεπισκόπου Καισαρείας, οὐρανοφάντορος, τοῦ Μεγάλου), (τοῦ ἁγίου τῆς ἡμέρας) οὗ τήν μνήμην ἐπιτελοῦμεν, καί πάντων τῶν Ἁγίων, ἐλεήσαι καί σώσαι ἡμᾶς, ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.

Καί, ὑποκλίναντες μικρόν τήν κεφαλήν αἰτούμενοι συγχώρησιν παρά τοῦ λαοῦ, εἰσέρχονται εἰς τό θυσιαστήριον, ὁ μέν Ἱερεύς διά τῆς Βορείου πύλης, ὁ δέ Διάκονος διά τῆς νοτίου, λέγοντες·

Εἰσελεύσομαι εἰς τόν οἶκόν σου, προσκυνήσω πρός ναόν τόν ἅγιόν σου ἐν φόβῳ σου.

Εἰσελθόντες δέ εἰς τό ἱερατεῖον ποιοῦσι προσκυνήματα γ' ἔμπροσθεν τῆς ἁγίας Τραπέζης καί ἀσπάζονται τό ἅγιον Εὐαγγέλιον καί τήν ἁγίαν Τράπεζαν.

Εἶτα λαμβάνουσιν ἕκαστος τό στιχάριον καί προσκυνοῦσι κατ᾽ ἀνατολάς τρίς, λέγοντες·

Ὁ Θεός ἱλάσθητι μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με.

Καί ὁ Διάκονος προσέρχεται τῷ Ἱερεῖ λέγων·

Εὐλόγησον, δέσποτα, τό στιχάριον σύν τῷ ὀραρίῳ.

Ὁ Ἱερεύς, εὐλογῶν ἤτοι σφραγίζων ταῦτα σταυροειδῶς, λέγει·

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ δέ Διάκονος ἀσπάζεται τήν τοῦ Ἱερεώς δεξιάν.

Εἶτα ὁ Ἱερεύς ἐνδύεται οὕτω· λαβών τό στιχάριον ἐν τῇ ἀριστερᾷ χειρί καί εὐλογῶν αὐτό λέγει·

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Καί ἐνδύεται αὐτό λέγων·

Ἀγαλλιάσεται ἡ ψυχή μου ἐπί τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καί χιτῶνα εὐφροσύνης περιέβαλέ με· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καί ὡς νύμφην κατεκόσμησέ με κόσμῳ.

Εἶτα, εὐλογῶν ὁ Ἱερεύς ἕνα ἕκαστον τῶν ἀμφίων αὐτοῦ, ἀσπάζεται τόν ἐν αὐτοῖς σταυρόν καί οὕτως ἐνδύεται ταῦτα λέγων·

Εἰς τό ἐπιτραχήλιον·

Εὐλογητός ὁ Θεός, ὁ ἐκχέων τήν χάριν αὐτοῦ ἐπί τούς ἱερεῖς αὐτοῦ· ὡς μῦρον ἐπί κεφαλῆς, τό καταβαῖνον ἐπί πώγωνα, τόν πώγωνα τοῦ Ἀαρών, τό καταβαῖνον ἐπί τήν ὤαν τοῦ ἐνδύματος αὐτοῦ.

Εἰς τήν ζώνην·

Εὐλογητός ὁ Θεός, ὁ περιζωνύων με δύναμιν καί ἔθετο ἄμωμον τήν ὁδόν μου.

Εἰς τά ἐπιμάνικα, ἐν μέν τῷ δεξιῷ·

Ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· καί τῷ πλήθει τῆς δόξης σου συνέτριψας τούς ὑπεναντίους·

Ἐν δέ τῷ ἀριστερῷ·

Αἱ χεῖρές σου ἐποίησάν με καί ἔπλασάν με, συνέτισόν με καί μαθήσομαι τάς ἐντολάς σου.

Εἰς τό ἐπιγονάτιον, ἐάν ἔχει·

Περίζωσαι τήν ῥομφαίαν σου ἐπί τόν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καί τῷ κάλλει σου· καί ἔντεινε καί κατευοδοῦ καί βασίλευε, ἕνεκεν ἀληθείας καί πρᾳότητος καί δικαιοσύνης· καί ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου.

Εἰς τό φελώνιον·

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καί οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Μετά ταῦτα, ἀπελθόντες εἰς τόν νιπτῆρα νίπτουσι τάς χεῖρας, λέγοντες ἑκάτερος τόν ψαλμόν.

**Ν**ίψομαι ἐν ἀθῴοις τάς χεῖράς μου, καί κυκλώσω τό θυσιαστήριόν σου, Κύριε, τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεώς σου, καί διηγήσασθαι πάντα τά θαυμάσιά σου. Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καί τόπον σκηνώματος δόξης σου. Μή συναπολέσῃς μετά ἀσεβῶν τήν ψυχήν μου, καί μετά ἀνδρῶν αἱμάτων τήν ζωήν μου, ὧν ἐν χερσίν αἱ ἀνομίαι· ἡ δεξιά αὐτῶν ἐπλήσθη δώρων. Ἐγώ δέ ἐν ἀκακίᾳ μου ἐπορεύθην· λύτρωσαί με, Κύριε, καί ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν εὐθύτητι· ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε.

Καί, ἐάν ὑπάρχει Διάκονος εἰσέρχεται ἐν τῇ προθέσει καί εὐτρεπίζει τά ἱερά σκεύη, μή ὑπάρχοντος ὅμως τοῦ Διακόνου τό αὐτό ποιεῖ ὁ Ἱερεύς, θέτει τό ἅγιον δισκάριον εἰς τό ἀριστερόν μέρος, τό δέ ἅγιον ποτήριον εἰς τό δεξιόν μέρος τῆς προθέσεως, καθώς ἐπίσης καί τά καλύμματα.

Εἶτα προσκυνοῦσι τρίς ἔμπροσθεν τῆς προθέσεως, ὁ Ἱερεύς καί ὁ Διάκονος λέγοντες·

Ὁ Θεός ἱλάσθητι μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με.

Εἶτα ὁ Ἱερεύς λέγει·

Ἑτοιμάζου Βηθλεέμ· ἤνοικται πᾶσιν ἡ Ἐδέμ. Εὐτρεπίζου Ἐφραθᾶ, ὅτι τό ξύλον τῆς ζωῆς, ἐν τῷ Σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καί γάρ, ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ, τό θεῖον φυτόν· ἐξ οὗ φαγόντες ζήσομεν, οὐχί δέ ὡς ὁ Ἀδάμ τεθνηξόμεθα. Χριστός γεννᾶται, τήν πρίν πεσοῦσαν, ἀναστήσων εἰκόνα.




Εἶτα ὁ Ἱερεύς, θέτει τήν ἁγίαν λόγχην ἐπάνω εἰς τό πρόσφορον, καί ὑψώνει αὐτό ἐμπρός εἰς τό μέτωπόν του λέγων.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, τῷ τιμίῳ σου αἵματι· τῷ σταυρῷ προσηλωθείς, καί τῇ λόγχῃ κεντηθείς, τήν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτήρ ἡμῶν, δόξα σοι.

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεύς·

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα λαμβάνει, ἐν μέν τῇ ἀριστερᾷ χειρί τό πρόσφορον, ἐν δέ τῇ δεξιᾷ χειρί τήν ἁγίαν λόγχην, καί ποιεῖ τό σημεῖον τοῦ Σταυροῦ τρίς εἰς τό πρόσφορον λέγων·

Εἰς ἀνάμνησιν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ (τρίς).

Εἶτα πήγνυσι τήν λόγχην εἰς τήν δεξιάν πλευράν τῆς σφραγῖδος, ἐν ᾧ ἐστι τό, καί ἀνατέμνων λέγει·

Ὡς πρόβατον ἐπί σφαγήν ἤχθη.

Ἐν τῇ ἀριστερᾷ πλευρᾷ, ἐν ᾧ ἐστι **χσ.**

Καί ὡς ἀμνός ἄμωμος, ἐναντίον τοῦ κείροντος αὐτόν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τό στόμα αὐτοῦ.

Εἰς τήν ἄνω πλευράν τῆς σφραγῖδος·

Ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη.

Εἰς τήν κάτω πλευράν τῆς σφραγῖδος·

Τήν δέ γενεάν αὐτοῦ τίς διηγήσεται;

Ὁ Διάκονος· Ἔπαρον, Δέσποτα.

Καί ὁ Ἱερεύς, ἐμβάλλων τήν ἁγίαν τήν ἁγίαν λόγχην ἐκ πλαγίου τῆς δεξιᾶς πλευρᾶς τοῦ προσφόρου καί αἴρει τόν Ἀμνόν λέγων·

Ὅτι αἴρεται ἀπό τῆς γῆς ἡ ζωή αὐτοῦ.

Καί τίθησιν αὐτόν ὑπτίως, ἔχοντα τήν σφραγῖδα κάτωθεν, εἰς τό ἅγιον δισκάριον.

Ὁ Διάκονος· Θῦσον, Δέσποτα.

Εἶτα ὁ Ἱερεύς θύει αὐτόν, χαράσοντας σταυροειδῶς βαθέως μέ τήν ἁγία λόγχην, λέγων·

Θύεται ὁ ἀμνός, [ὁ Υἱός καί Λόγος] τοῦ Θεοῦ, ὁ αἴρων τήν ἁμαρτίαν τοῦ κόσμου, ὑπέρ τῆς τοῦ κόσμου ζωῆς καί σωτηρίας· ὁ πάντοτε θυόμενος καί μηδέποτε δαπανώμενος.

Ὁ Διάκονος· Σταύρωσον, Δέσποτα.

Καί ὁ Ἱερεύς θύων τόν Ἀμνόν ὁριζοντίως, ὥστε ἡ τομή νά σχηματίσῃ σταυρόν, καί λέγει·

Σταυρωθέντος σου Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ·

Καί στρέφει τό ἄλλον μέρος ἐπάνω, τό ἔχον τήν σφραγῖδα.

Ὁ Διάκονος· Νύξον, Δέσποτα.

Καί ὁ Ἱερεύς κεντεῖ μέ τήν ἁγίαν λόγχην εἰς τό δεξιόν μέρον τοῦ ἄρτου, τό μέρος πού φέρει τό ὄνομα **ΝΙ**, καί λέγει·

Εἷς τῶν στρατιωτῶν λόγχῃ τήν πλευράν αὐτοῦ ἔνυξε· καί εὐθέως ἐξῆλθεν αἷμα καί ὕδωρ· καί ὁ ἑωρακώς μεμαρτύρηκε καί ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Ὁ δέ Διάκονος λαβών τά δύο ὑαλοδοχεῖα, πού τό μέν ἕνα περιέχει οἶνον ἁγνόν, τό δέ ἄλλο ὕδωρ καί ἐγχέει τῷ ἁγίῳ Ποτηρίῳ, ἐκ τοῦ νάματος ὁμοῦ καί τοῦ ὕδατος τό ἀρκοῦν, λέγων τῷ Ἱερει·

Εὐλόγησον, Δέσποτα, τήν ἕνωσιν ταύτην.

Καί ὁ Ἱερεύς εὐλογεῖ αὐτά, λέγων·

Εὐλογημένη ἡ ἕνωσις τῶν ἁγίων σου, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Ἱερεύς καλύπτει τό ἅγιον Ποτήριον μέ ἕν κάλυμμα, καί λαβών ἐν ταῖς χερσί τό δεύτερον πρόσφορον, χαράσει μέ τήν ἁγίαν λόγχην τήν μερίδα εἰς τιμήν τῆς Θεοόκου λέγων·

Εἰς τιμήν καί μνήμην τῆς ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, ἧς ταῖς πρεσβείαις, ὁ Θεός, πρόσδεξαι, τήν θυσίαν ταύτην εἰς τό ὑπερουράνιόν σου θυσιαστήριον.

Αἴρων δέ τήν μερίδα ταύτην μέ τήν ἁγίαν λόγχην, θέτει αὐτήν εἰς τό δεξιόν μέρος τοῦ Ἀμνοῦ, (βλέπε τούτῳ ἐν τῷ

σχεδίῳ τῆς προθέσεως σελίς 53) πλησίον ἐν τῷ μέσῳ αὐτοῦ, καί λέγει·

Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημμένη, πεποικιλμένη.

Εἶτα αἴρει ἀπό τό τρίτον πρόσφορν ἤ τό ἴδιον, τάς μερίδας τῶν ἐννέα Ταγμάτων, καί θέτει αὐτάς εἰς τό ἀριστερόν μέρος τοῦ ᾿Αμνοῦ, (βλέπε τούτῳ ἐν τῷ σχεδίῳ τῆς προθέσεως σελίς 50) καί κατ᾿ ἀριθμητικήν τάξιν λέγων·

Καί ἐν μέν τῇ πρώτῃ (1)

Εἰς τιμήν καί μνήμην τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαήλ καί Γαβριήλ, καί πασῶν τῶν ἐπουρανίων Δυνάμεων ᾿Ασωμάτων.

Καί οὕτω τίθησιν αὐτήν ἐν τῷ ἀριστερῷ μέρει τοῦ ἁγίου ἄρτου, πλησίον τῆς μέσης.

᾿Εν τῇ δευτέρᾳ (2)

Τοῦ τιμίου ἐνδόξου προφήτου προδρόμου καί βαπτιστοῦ ᾿Ιωάννου· τῶν ἁγίων ἐνδόξων προφητῶν, Μωϋσέως καί ᾿Ααρών, ᾿Ηλιού, ᾿Ελισσαίου, Δαυΐδ τοῦ ᾿Ιεσσαί· τῶν ἁγίων τριῶν Παί- δων, καί Δανιήλ τοῦ προφήτου, καί πάντων τῶν ἁγίων προφητῶν.

Καί τίθησιν αὐτήν ὑπό κάτω τῆς α΄. μερίδος εὐτάκτως.

᾿Εν τῇ τρίτῃ (3)

Τῶν ἁγίων, ἐνδόξων καί πανευφήμων ἀποστόλων Πέτρου καί Παύλου, τῶν Δώδεκα καί τῶν ῾Εβδομήκοντα, καί πάντων τῶν ἁγίων ᾿Αποστόλων καί ἰσαποστόλων.

Καί οὕτω τίθησι τήν γ΄. μερίδα ὑπό κάτω τῆς β΄. καί τελειώνει τήν πρώτην τάξιν.

᾿Εν τῇ τετάρτῃ (4)

Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καί ᾿Ιωάννου τοῦ Χρυσοστόμου· ᾿Α-

θανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος καί Νεκταρίου Πενταπόλεως, καί πάντων τῶν ἁγίων ἱεραρχῶν.

Καί τίθησιν αὐτήν πλησίον τῆς πρώτης μερίδος, ποιῶν δευτέραν ἀρχήν καί στάσιν.

Ἐνταῦθα δύναται ἕκαστος ἱερεύς νά συμπεριλάβῃ οὕς βούλεται ἁγίους ἱεράρχας, Μάρτυρας, Ὁσίους, Ἀναργύρους, Προφήτας, Ἀποστόλους, κ.λ.π.

Ἐν τῇ πέμπτῃ (5)

Τοῦ ἁγίου, ἐνδόξου, ἀποστόλου, πρωτομάρτυρος κα ἀρχιδιακόνου Στεφάνου· τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων· Γεωργίου, Δημητρίου καί Θεοδώρων· τῶν ἱερομαρτύρων Πολυκάρπου, Χαραλάμπους καί Ελευθερίου· τῶν ἁγίων μαρτύρων γυναικῶν· Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς, Εἰρήνης καί πάντων τῶν ἁγίων Ἱερομαρτύρων, καλλινίκων Μαρτύρων καί Ὁμολογητῶν.

Καίτίθησιν αὐτήν αὐτήν ὑπό κάτω τῆς α΄. μερίδος, τῆς οὔσης ἀρχῆς τῆς δευτέρας τάξεως.

Ἐν τῇ ἕκτῃ (6)

Τῶν ὁσίων καί θεοφόρων πατέρων ἡμῶν, τῶν ἐν ἀσκήσει λαμψάντων· Ἀντωνίου τοῦ Μεγάλου, Εὐθυμίου, Σάβα τοῦ ἡγιασμένου, Θεοδοσίου τοῦ Κοινοβιάρχου, Ὀνουφρίου, Ἀθανασίου καί Πέτρου, τῶν ἐν τῷ Ἄθῳ, καί πάντων καί πασῶν τῶν ὁσίων.

Καί τίθησιν αὐτήν ὑπό κάτω τῆς δευτέρας μερίδος, καί τελειώνει ἡ δευτέρα τάξις.

Ἐν τῇ ἑβδόμῃ (7)

Τῶν ἁγίων, ἐνδόξων καί θαυματουργῶν ᾿Αναργύρων, Κοσμᾶ καί Δαμιανοῦ, Κύρου καί ᾿Ιωάννου, Παντελεήμονος καί ῾Ερμολάου, καί πάντων τῶν ἁγίων ἰατρῶν ἀναργύρων.

Καί τίθησιν αὐτήν ἄνω, πλησίον τῆς δευτέρας μερίδος, ποιῶν τρίτην ἀρχήν καί τάξιν.

᾿Εν τῇ ὀγδόῃ (8)

Τῶν ἁγίων καί δικαίων θεοπατόρων ᾿Ιωακείμ καί ῎Αννης· τοῦ ῾Αγίου (τῆς ἡμέρας), τοῦ ἁγίου (τοῦ Ναοῦ, ἐφ᾿ ὅσον δέν ἐμνημονεύθη ἐν τῇ οἰκείᾳ τάξει) καί τῶν ῾Αγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός καί δώρησαι ἡμῖν πάντα τά πρός σωτηρίαν αἰτήματα, καί ζωήν τήν αἰώνιον.

Καί τίθησιν αὐτήν ὑπό κάτω τῆς ἑβδόμης μερίδος τῆς δευτέρας τάξεως.

᾿Εν τῇ ἐνάτῃ (9)

Τοῦ ἐν ἁγίοις πατρός ἡμῶν, ᾿Ιωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου, (ἤ Βασιλείου ἀρχιεπισκόπου Καισαρείας, οὐρανοφάντορος, τοῦ Μεγάλου), οὗ καί τήν θείαν Μυσταγωγίαν ἐπιτελοῦμεν, ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Καί τίθησιν αὐτήν ὑπό κάτω τῆς τῆς ὀγδόης μερίδος, καί οὕτως ἀναπληρώνονται αἱ τρεῖς τρεῖς τάξεις τῶν ἐννέα Ταγμάτων.

Ἱερουργοῦντος δέ Ἀρχιερέως, ὁ Ἱερεύς οὐ τελειοῖ τήν προσκομιδήν ἀλλά καλύπτει τό δισκάριον διά τοῦ ἀέρος καί τελειοῖ τήν προσκομιδήν καλύπτωντας ὁ Ἀρχιερεύς.

Εἶτα ὁ ῾Ιερεύς λαβών τό μαχαιρίδιον τό ὁποῖον βρίσκεται εἰς τήν πρόθεσιν, καί κόπτει δύο τμήματα ἀπό τό ἴδιον πρόσφορον, τά ὁποῖα ἔχουν τόν τύπον (ὡς ἐν τῇ παρούσῃ σελίδα), καί ἀπό τοῦ μέν τμήματος βγάζει μερίδες τῶν ζώντων, ἀπό δέ τοῦ ἄλλου βγάζει μερίδες τῶν κεκοιμημένων. Εἶτα κρατῶν τό πρῶτον τμῆμα εἰς τούς τρεῖς δακτύλους τῆς

ἀριστερᾶς χειρός, καί μέ τήν δεξιάν χεῖρα τήν ἁγίαν λόγχην καί βγάζει μερίδας λέγων·

| | |
|---|---|
| ισ | χσ |
| νι | κα |

Μνήσθητι, Δέσποτα Φιλάνθρωπε πάσης Ἐπισκοπῆς ὀρθοδόξων καί τοῦ Ἀρχιεπισκόπου (τοῦ δεῖνος), [ἤ τοῦ Ἐπισκόπου ἡμῶν (τοῦ δεῖνος), καί τοῦ χειροτονήσαντος αὐτόν ἀρχιερέως], τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας καί παντός τοῦ ἱερατικοῦ τάγματος, τῶν ἀδελφῶν καί συλλειτουργῶν ἡμῶν Πρεσβυτέρων, Διακόνων, καί πάντων τῶν ἀδελφῶν ἡμῶν, οὕς προσεκαλέσω εἰς τήν σήν κοινωνίαν, διά τῆς σῆς εὐσπλαγχνίας Πανάγαθε Δέσποτα.

Εἶτα βγάζει μερίδα καί τήν θέτει ὑποκάτω τοῦ Ἀμνοῦ, (βλέπε ἐν σχεδίῳ σελίς 50) καί συνεχίζων ὁ Ἱερεύς νά μνημονεύει καί ἄλλων ζώντων ὀνομάτων ὧν βούλει καθώς ἐπίσης καί ὁ Διάκονος.

Εἶτα ὁ Ἱερεύς λαβών τό δεύτερον τμῆμα καί λέγει.

Ἔτι δεόμεθα ὑπέρ μακαρίας μνήμης καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν μακαρίων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἤ τῆς ἱεράς Μονῆς) ταύτης.

Καί βγάζει ἄλλας μερίδας τῶν κεκοιμημένων καί λέγει·

Μνήσθητι, Κύριε, εὐσεβῶν βασιλέων, ὀρθοδόξων πατριαρχῶν, ἀρχιερέων, ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, μοναχῶν, μοναζουσῶν καί πάντων τῶν ἐπ᾽ ἐλπίδι Ἀναστάσεως ζωῆς αἰωνίου τῶν τῇ Σῇ κοινωνίᾳ κεκοιμημένων ὀρθοδόξων Πατέρων καί ἀδελφῶν ἡμῶν, Φιλάνθρωπε Κύριε.

Εἶτα βγάζει ἄλλας μερίδας καί μνημονεύει καί ἄλλων κεκοιμημένων ὀνομάτων ὧν βούλει, καί τό ὄνομα τοῦ χει-

ροτονήσαντος αὐτόν Ἀρχιερέως, εἰ οὐκ ἔστιν ἐν τοῖς ζῶσι. Ὡσαύτως καί ὁ Διάκονος μνημονεύει ὧν θέλει κεκοιμημένων ὀνομάτων. Εἰς τό τέλος δέ τῆς μνημνεύσεως τῶν κεκοιμημένων ὁ Ἱερεύς λέγει·

Καί ἀνάπαυσον αὐτούς ἔνθα οἱ δίκαιοι ἀναπαύονται· καί κατάταξον αὐτούς ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν σου, ὅπου ἐπισκοπεῖ τό φῶς τοῦ προσώπου σου.

Ὕστερον δέ βγάζει καί μερίδα ὑπέρ τοῦ ἑαυτοῦ του λέγων·

Μνήσθητι, Κύριε, κἀμοῦ τοῦ δούλου σου (τοῦ δεῖνος) πρεσβυτέρου, τοῦ καί προσκομίζοντος τά τίμια καί ἅγια Δῶρα ταῦτα, καί συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καί ἀκούσιον.

Καί ὁ Ἱερεύς λαβών τήν ἁγίαν λόγχην συστέλλει εἰς τό ἅγιον δισκάριον τάς μερίδας μέ εὐτρέπειαν, καί ὁ Διάκονος λαβών τό θυμιατόν καί θυμίαμα βάλλει εἰς αὐτό, λέγει εἰς τόν Ἱερέα.

Εὐλόγησον, Δέσποτα, τό θυμίαμα.

Καί ὁ Ἱερεύς εὐλογεῖ τό θυμίαμα λέγων τήν εὐχήν·

Θυμίαμά σοι προσφέρομεν, Χριστέ ὁ Θεός ἡμῶν, εἰς ὀσμήν εὐωδίας πνευματικῆς· ὅ προσδεξάμενος εἰς τό ὑπερουράνιόν σου θυσιαστήριον, ἀντικατάπεμψον ἡμῖν τήν χάριν τοῦ παναγίου σου Πνεύματος.

Ἡ εὐχή αὔτη μόνον ἐδῶ λέγεται, εἰς δέ τάς ἄλλας εὐλογίας τοῦ θυμιάματος λέγεται τό, "Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν".

Ὁ Διάκονος·

Στερέωσον, Δέσποτα.

Καί λαβών ὁ Ἱερεύς τόν ἀστερίσκον, ἀσπάζεται αὐτόν καί τόν θέτει ἐπάνω τοῦ ἁγίου δισκαρίου λέγων·

Καί ἐλθών ὁ Ἀστήρ ἔστη ἐπάνω, οὗ ἦν τό Παιδίον μετά Μαρίας τῆς μητρός αὐτοῦ.

Ὁ Διάκονος· Εὐτρέπισον, Δέσποτα.

Καί λαβών ὁ Ἱερεύς τό πρῶτον κάλυμμα καί τοῦ Διακόνου θυμιάζοντος, σκεπάζει τό ἅγιον δισκάριον λέγων·

Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο ὁ Κύριος δύναμιν καί περιεζώσατο· καί γάρ ἐστερέωσε τήν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Ὁ Διάκονος·

Κάλυψον, Δέσποτα.

Καί λαβών ὁ Ἱερεύς τό δεύτερον κάλυμμα καί τοῦ Διακόνου θυμιάζοντος, σκεπάζει τό ἅγιον ποτήριον λέγων·

Ἐκάλυψεν οὐρανούς ἡ ἀρετή σου, Χριστέ, καί τῆς αἰνέσεώς σου πλήρης ἡ γῆ.

Ὁ Διάκονος· Σκέπασον, Δέσποτα.

Καί λαβών ὁ Ἱερεύς τόν Ἀέρα καί τοῦ Διακόνου θυμιάζοντος, σκεπάζει τό ἅγιον δισκάριον καί τό ἅγιον ποτήριον λέγων·

Σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀπόδίωξον ἀφ᾽ ἡμῶν πάντα ἐχθρόν καί πολέμιον· εἰρήνευσον ἡμῶν τήν ζωήν. Κύριε, ἐλέησον ἡμᾶς καί τόν κόσμον σου, καί σῶσον τάς ψυχάς ἡμῶν, ὡς ἀγαθός καί φιλάνθρωπος.

Εἶτα ὁ Ἱερεύς λαβών τό θυμιατόν θυμιᾷ τήν ἁγίαν Πρόθεσιν καί λέγει τρίς·

Εὐλογητός Χριστός ὁ Θεός ἡμῶν ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Ὁ Διάκονος ἐν ἑκάστῃ φορά λέγει·

Πάντοτε, νῦν, καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί ὁ Διάκονος λαβών τό θυμιατόν ἐκ τῆς χειρός τοῦ Ἱερέως, ἀσπασθείς αὐτήν καί λέγει·

Ἐπί τῇ Προθέσει τῶν τιμίων Δώρων,
τοῦ Κυρίου δεηθῶμεν. Κύριε ἐλέησον.

Καί ὁ Ἱερεύς ἀναγινώσκει τήν εὐχήν τῆς Προθέσεως·

Ὁ Θεός, ὁ Θεός ἡμῶν, ὁ τόν οὐράνιον Ἄρτον, τήν τροφήν τοῦ παντός κόσμου, τόν Κύριον ἡμῶν καί Θεόν Ἰησοῦν Χριστόν ἐξαποστείλας Σωτῆρα καί Λυτρωτήν, καί Εὐεργέτην, εὐλογοῦντα καί ἁγιάζοντα ἡμᾶς· αὐτός εὐλόγησον τήν Πρόθεσιν ταύτην καί πρόσδεξαι αὐτήν εἰς τό ἐπουράνιόν σου Θυσιαστήριον, μνημόνευσον ὡς ἀγαθός καί φιλάνθρωπος, τῶν προσενεγκάντων, καί δι᾽ οὕς προσήγαγον· καί ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ Ἱερουργίᾳ τῶν θείων σου Μυστηρίων.

Ὅτι ἡγίασται καί δεδόξασται τό πάντιμον καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ ἁγίου Πνεύματος, νῦν, καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Ἱερεύς, ποιεῖ τήν μικράν Ἀπόλυσιν λέγων·

Δόξα σοι, Χριστέ ὁ Θεός, ἡ ἐλπίς ἡμῶν, δόξα σοι.

Ὁ Διάκονος·

Δόξα, Καί νῦν, Κύριε ἐλέησον (γ΄) Δέσποτα ἅγιε εὐλόγησον.

Ὁ Ἱερεύς·

Ὁ ἐν Σπηλαίῳ γεννηθείς καί ἐν φάτνῃ ἀνακλιθείς διά τήν ἡμῶν σωτηρίαν· (εἰ ἔστι Κυριακή, λέγει, καί ἀναστάς ἐκ νεκρῶν), Χριστός ὁ ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καί παναμώμου ἁγίας αὐτοῦ Μητρός. Τοῦ τιμίου, ἐνδόξου, Προφήτου Προδρόμου καί Βαπτιστοῦ Ἰωάννου. (Τοῦ ἁγίου τῆς ἡμέρας). Τοῦ ἐν ἁγίοις πατρός ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ

Χρυσοστόμου· (ἤ Βασιλείου ἀρχιεπισκόπου Καισαρείας, οὐρανοφάντορος, τοῦ Μεγάλου), (εἰ τελεῖται ἡ λειτουργία αὐτοῦ), καί πάντων τῶν Ἁγίων, ἐλεήσαι καί σώσαι ἡμᾶς, ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.

Εἶτα ὁ Ἱερεύς καί ὁ Διάκονος προσκυνοῦσιν, καί ὁ Ἱερεύς ἀσπάζεται τά ἅγια σταυροειδῶς καί λέγει·

Ἅγιος ὁ Θεός, ὁ Πατήρ ὁ Ἄναρχος. Ἅγιος ἰσχυρός, ὁ Υἱός ὁ Συνάναρχος. Ἅγιος ἀθάνατος, τό Πανάγιον Πνεῦμα. Τριάς ἁγία δόξα σοι.

Ὁ δέ Διάκονος ἀφοῦ εἰπεῖν τῷ Ἀμήν, ἀσπάζεται καί αὐτός τό κάτω μέρος τοῦ Ἀέρος, καί θυμιᾷ τήν ἱεράν Πρόθεσιν τρίς, καί τήν ἁγίαν Τράπεζαν κύκλῳ σταυροειδῶς, καί λέγων τά ἑξῆς τροπάρια.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δέ μετά ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δέ μετά Λῃστοῦ, καί ἐν Θρόνῳ ὑπῆρχες, Χριστέ, μετά Πατρός καί Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα Πατρί.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καί παστάδος πάσης Βασιλικῆς, ἀναδέδεικται λαμπρότερος Χριστέ, ὁ Τάφος σου, ἡ πηγή τῆς ἡμῶν ἀναστάσεως.

Καί νῦν. Θεοτοκίον.

Τό τοῦ Ὑψίστου ἡγιασμένον Θεῖον σκήνωμα, Χαῖρε, διά σοῦ γάρ δέδοται ἡ χαρά Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σύν ἐν Γυναξίν ὑπάρχεις, Πανάμωμε Δέσποινα.

Εἶτα θυμιᾷ καί ὅλον τό ἱερατεῖον, καί ὅλον τόν λαόν ἀπό τήν ὡραίαν πύλην, λέγων δέ καί τόν Ν´ Ψαλμόν, καί ἐπι-

στρέψας θυμιᾷ πάλιν τήν ἁγίαν Τράπεζαν καί ἀποθέτει τό θυμιατόν.

# H UEIA
# LEITOYRGIA
# TOY EN AGIOIS PATROS HMVN
# IVANNOY TOY XRYSOSTOMOY


Ὁ ἍΓΙΟΣ
ἸΩΆΝΝΗΣ
Ὁ ΧΡΥΣΌΣΤΟΜΟΣ

# H UEIA LSITOYR -
# TOY EN AGIOIS PATROS HMVN

῾Ο Διάκονος· Εὐλόγησον, Δέσποτα.

῾Ο ῾Ιερεύς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Ταπέζης, καί ποιῶν μετά τοῦ Εὐαγγελίου τύπον σταυροῦ ἐκφωνεῖ·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

῾Ο Διάκονος λέγει τά εἰρηνικά, ἐνῶ οἱ Χοροί μεθ᾿ ἑκάστην Δέησιν, ἐναλλάξ, ψάλλουσιν ἅπαξ, τό· Κύριε ἐλέησον.

᾿Εν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῆς ἄνωθεν εἰρήνης καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ᾿Εκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ ἁγίου Οἴκου τούτου, καί τῶν μετά πίστεως, εὐλαβείας καί φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ κλήρου καί τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ συμπολεμῆσαι καί ὑποτάξαι ὑπό τό κράτος αὐτοῦ, πάντα ἐχθρόν καί πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς πόλεως (ἤ τῆς χώρας, ἤ τῆς κώμης, ἤ τῆς νήσου, ἤ τῆς ἁγίας Μονῆς) ταύτης, πάσης πόλεως, χώρας, καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καί καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ψάλλεται τό Α´ Ἀντίφωνον, παρά τῶν Χορῶν, ἤ ἡ πρώτη στάσις τῶν τυπικῶν. Εἰ μέν ἐστι Δεσποτική, ἤ Θεομητορική ἑορτή, ἤ ἀπόδοσις, ἤ μεθέορτα Δεσποτικῆς, ἤ Θεομητορικῆς ἑορτῆς ψάλλονται τά Ἀντίφωνα τῆς ἑορτῆς, ὁ δέ Ἱερεύς ἀναγινώσκει τήν εὐχήν τοῦ πρώτου ἀντιφώνου.

Κύριε ὁ Θεός ἡμῶν, οὗ τό κράτος ἀνείκαστον, καί ἡ δόξα ἀκατάληπτος· οὗ τό ἔλεος ἀμέτρητον, καί ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατά τήν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ᾽ ἡμᾶς καί ἐπί τόν ἅγιον οἶκον τοῦτον, καί ποίησον μεθ᾽ ἡμῶν, καί τῶν συνευχομένων ἡμῖν, πλούσια τά ἐλέη σου καί τούς οἰκτιρμούς σου.

Εἶτα ὁ Διάκονος ἐκφωνεῖ τήν μικράν Συναπτήν.

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι σόν τό κράτος, καί σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις, καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ψάλλεται ὑπό τῶν δύο Χορῶν τό Γ΄ Ἀντίφωνον, ἤ οἱ Μακαρισμοί, ὁ Ἱερεύς ἀναγινώσκει μυστικῶς τήν εὐχήν τοῦ Β΄ ἀντιφώνου.

Κύριε ὁ Θεός ἡμῶν, σῶσον τόν λαόν σου, καί εὐλόγησον τήν κληρονομίαν σου· τό πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τούς ἀγαπῶντας τήν εὐπρέπειαν τοῦ οἴκου σου· Σύ αὐτούς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καί μή ἐγκαταλίπῃς ἡμᾶς τούς ἐλπίζοντας ἐπί σέ.

Εἶτα ὁ Διάκονος ἐκφωνεῖ τήν μικράν Συναπτήν.

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφωνεῖ·

Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν. τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ

῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

῾Ο ῾Ιερεύς ἀναγινώσκει μυστικῶς τήν εὐχήν τοῦ γ´ ἀντιφώνου.

῾Ο τάς κοινάς ταύτας καί συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καί δυσί καί τρισί, συμφωνοῦσιν ἐπί τῷ ὀνόματί σου, τάς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος. Αὐτός καί νῦν τῶν δούλων σου τά αἰτήματα πρός τό συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τήν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καί ἐν τῷ μέλλοντι ζωήν αἰώνιον χαριζόμενος.

Ψαλλομένου δέ ὑπό τῶν Ψαλτῶν τό Δόξα τοῦ Γ´ ᾿Αντιφώνου ἤ τῶν Μακαρισμῶν, ὁ ῾Ιερεύς καί ὁ Διάκονος προσκυνοῦσιν τρίς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης. Εἶτα, ὁ ῾Ιερεύς λαμβάνει τό ἅγιον Εὐαγγέλιον καί τό δίδει εἰς τόν Διάκονον καί διελθόντες κύκλῳ τῆς ἁγίας Τραπέζης, ἐξέρχονται τῆς βορείου πύλης καί ποιοῦσι τήν μικράν εἴσοδον. ᾿Ελθόντες δέ ἐν τῷ μέσῳ τοῦ ναοῦ, κλίνουσιν ἀμφότεροι τάς κεφαλάς, καί ὁ Διάκονος πραείᾳ τῇ φωνῇ λέγει·

Τοῦ Κυρίου δεηθῶμεν.

῾Ο δέ ῾Ιερεύς λέγει μυστικῶς τήν εὐχήν τῆς εἰσόδου·

**Δ**έσποτα Κύριε, ὁ Θεός ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καί στρατιάς ἀγγέλων καί ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σύν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καί συνδοξολογούντων τήν σήν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος λέγει·

Εὐλόγησον, Δέσποτα, τήν ἁγίαν εἴσοδον.

Ὁ Ἱερεύς εὐλογῶν διά τῆς δεξιᾶς αὐτοῦ χειρός λέγει·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Διάκονος προσφέρει εἰς τόν Ἱερέα τό ἅγιον Εὐαγγέλιον, καί ἀσπάζεται τοῦτο, καί ὁ Διάκονος ἀσπάζεται τήν δεξιάν τοῦ Ἱερέως, καί ὁ Διάκονος ὑψῶν τό ἅγιον Εὐαγγέλιον ἕως τοῦ μετώπου του, καί ποιῶν τό σημεῖον τοῦ Σταυροῦ ἐκφωνεῖ μελῳδικῶς·

Σοφία. Ὀρθοί.

Εἶτα ὁ Διάκονος καί ὁ Ἱερεύς διά τῆς ὡραίας πύλης, εἰσέρχονται εἰς τό ἱερόν βῆμα.

Οἱ δέ Χοροί ψάλλουν τό σύνηθες Εἰσοδικόν·

**Δ**εῦτε προσκυνήσωμεν καί προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, [(ὁ ἀναστάς ἐκ νεκρῶν, ἐν Κυριακῇ) ἤ (ὁ ἐν ἁγίοις θαυμαστός ἐν Καθημερινῇ)], ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τυχούσης ὅμως Δεσποτικῆς ἤ Θεομητορικῆς ἑορτῆς, τότε ψάλλεται τό ἐνδιάτακτον Εἰσοδικόν τῆς ἑορτῆς.

Εἶτα οἱ Χοροί, ψάλλουν ἐναλλάξ τά Ἀπολυτίκια καί τό Κοντάκιον τῆς ἡμέρας, ὅπως ὁρίζει τό τυπικόν (Δίπτυχα) τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, καθώς καί τό Ἀπολυτίκιον τοῦ ναοῦ, τό ὁποῖον ψάλλεται πρό τοῦ Κοντακίου. Τελουμένου δέ καί Μνημοσύνου ψάλλεται καί

τό ἑξῆς Κοντάκιον τῶν Κεκοιμημένων, πρό τοῦ Ἀπολυτικίου τοῦ ναοῦ.

Μνήσθητι, Κύριε, ὡς ἀγαθός τ.. δούλ.. σου καί ὅσα ἐν βίῳ ἥμαρτ.. συγχώρησον· οὐδείς γάρ ἀναμάρτητος, εἰ μή σύ ὁ δυνάμενος καί τοῖς μεταστᾶσι δοῦναι τήν ἀνάπαυσιν.

Πληρωθέντων δέ τῶν Τροπαρίων ὁ Διάκονος λέγει·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς·

Ὅτι ἅγιος εἶ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί,

Ο Διάκονος λέγει·

Καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ψαλλομένου δέ τοῦ Τρισαγίου ὑπό τῶν Χορῶν, ὁ Ἱερεύς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, λέγει μυστικῶς τήν εὐχήν τοῦ Τρισαγίου.

Ὁ Θεός ὁ ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπό τῶν Σεραφείμ ἀνυμνούμενος, καί ὑπό τῶν Χερουβείμ δοξολογούμενος, καί ὑπό πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι παραγαγών τά σύμπαντα· ὁ κτίσας τόν ἄνθρωπον κατ᾽ εἰκόνα σήν καί ὁμοίωσιν, καί παντί σου χαρίσμασι κατακοσμήσας· ὁ διδούς αἰτοῦντι σοφίαν καί σύνεσιν, καί μή παρορῶν ἁμαρτάνοντα, ἀλλά θέμενος ἐπί σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς, τούς ταπεινούς καί ἀναξίους δούλους σου, καί ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καί τήν ὀφειλομένην σοι προσκύνησιν καί δοξολογίαν προσάγειν· Αὐτός, Δέσποτα, πρόσδεξαι καί ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τόν τρισάγιον ὕμνον, καί

ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καί ἀκούσιον· ἁγίασον ἡμῶν τάς ψυχάς καί τά σώματα· καί δός ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τάς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καί πάντων τῶν ἁγίων, τῶν ἀπ᾿ αἰῶνός σοι εὐαρεστησάντων.

Εἴ ἐστι συλλείτουργον, ὁ Τρισάγιος ὕμνος, ψάλλεται δίς ὑπό τῶν Χορῶν, τό τρίτον λέγεται ἀπό τοῦ ἱεροῦ Βήματος, τό τέταρτον πάλιν ὑπό τοῦ δεξιοῦ Χοροῦ καί τό πέμπτον πάλιν ἐκ τοῦ ἱεροῦ Βήματος. ὡς καί τό· Δόξα, Καί νῦν, Ἅγιος Ἀθάνατος, πάλιν ὑπό τῶν Χορῶν.

Εἶτα ὁ Ἱερεύς καί ὁ Διάκονος λέγουσιν ἐναλλάξ μυστικῶς τόν Τρισάγιον ὕμνον, καί προσκυνοῦσιν τρίς, καί ποιοῦντες τό σημεῖον τοῦ Σταυροῦ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

Εἴ δέ τύχοι Δεσποτική ἤ Θεομητορική ἑορτή, ἀντί τοῦ Ἅγιος ὁ Θεός ψάλλεται τό· Ὅσοι εἰς Χριστόν ἐβαπτίσθητε, καί ἐν τῇ Ὑψώσει τοῦ τιμίου Σταυροῦ τό· Τόν Σαυρόν σου προσκυνοῦμεν, Δέσποτα.

Εἶτα ὁ Διάκονος ἐκφωνεῖ·

Δύναμις.

Εἶτα ὁ Διάκονος λέγει πρός τόν Ἱερέα·

Κέλευσον, Δέσποτα.

Ὁ Ἱερεύς στρέφεται πρός τήν ἁγίαν Πρόθεσιν λέγων·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα, τήν ἄνω καθέδραν.

Ὁ Ἱερεύς εὐλογῶν λέγει·

Εὐλογημένος εἶ, ὁ ἐπί θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπί τῶν Χερουβείμ, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετά δέ τήν συμπλήρωσιν τοῦ Τρισαγίου ὕμνου, ὁ Διάκονος, βλέπων πρός τόν λαόν, καί τοῦ Ἀναγνώστου εἰπόντος τό Προκείμενον τοῦ Ἀποστόλου, ἐκφωνεῖ·

Πρόσχωμεν.

Ὁ Ἀναγνώστης λέγει τόν στίχον τοῦ προκειμένου·

Ὁ Διάκονος· Σοφία.

Ὁ Ἀναγνώστης λέγει τήν ἐπιγραφήν τοῦ ἀναγνώσματος·

Ὁ Διάκονος· Πρόσχωμεν.

Εἶτα ὁ Διάκονος λαβών τό θυμιατόν μετά θυμιάματος, λέγει πρός τόν Ἱερέα μυστικῶς.

Εὐλόγησον, Δέσποτα, τό θυμίαμα.

Ὁ Ἱερεύς εὐλογῶν αὐτῷ λέγων πραείᾳ τῇ φωνῇ.

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Διάκονος θυμιᾷ, ἀθορύβως κύκλῳ τῆς ἁγίας Τραπέζης, τήν ἱεράν Πρόθεσιν, καί εἰσερχόμενος εἰς τήν Ὡραίαν Πύλην, θυμιᾷ τόν ἀρχιερατικόν θρόνον, τάς Δεσποτικάς εἰκόνας καί τόν λαόν, ἐπανελθών δέν ἐν τῷ ἁγίῳ Βήματι θυμιᾷ πάλιν τήν ἁγίαν Τράπεζαν, καί ὅλον τό Ἱερατεῖον, καί ἀποθέτει τό θυμιατόν, εἶτα λέγει·

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς δέ, ἀναγινώσκει μυστικῶς τήν εὐχήν τοῦ Εὐαγγελίου·

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τό τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καί τούς τῆς διανοίας ἡμῶν ὀφθαλμούς διάνοιξον εἰς τήν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καί τόν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τάς σαρκικάς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικήν

πολιτείαν μετέλθωμεν, πάντα τά πρός εὐαρέστησιν τήν σήν καί φρονοῦντες καί πράττοντες. Σύ γάρ εἶ ὁ φωτισμός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, Χριστέ ὁ Θεός, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῶ, καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Διάκονος κλίνας τήν κεφαλήν λέγει τῷ Ἱερεῖ·

Εὐλόγησον, Δέσποτα τόν εὐαγγελιστήν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καί εὐαγγελιστοῦ (δεῖνος).

Ὁ Ἱερεύς σφραγίζων αὐτόν, λέγει μυστικῶς·

Ὁ Θεός, διά πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καί εὐαγγελιστοῦ (δεῖνος), δῴη σοι ρῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δέ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος μυστικῶς·

Ἀμήν. Ἀμήν. Ἀμήν. Γένοιτό μοι [νῦν] κατά τό ρῆμά σου.

Εἶτα ὁ Διάκονος προσκυνήσας, λαμβάνει τό ἅγιον Εὐαγγέλιον ἐκ τῶν χειρῶν τοῦ Ἱερέως, καί ἀσπάζεται τήν δεξιάν αὐτοῦ χεῖρα λέγων·

Ἀπόστολε ἅγιε καί εὐαγγελιστά (δεῖνα) πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Εἶτα δέ, ὁ Διάκονος ἐξέρχεται ἐκ τῆς Βορείας πύλης, κρατῶντας τό ἅγιον Εὐαγγέλιον καί ἀνεβαίνει εἰς τόν ἄμβωνα ἤ στόν ἀρχιερατικόν θρόνον διά τήν ἀνάγνωσιν αὐτοῦ. Πληρωθέντος δέ τοῦ Ἀποστολικοῦ ἀναγνώσματος, ὁ Ἱερεύς ἐκφωνεῖ ἐκ τῆς Ὡραίας Πύλης λέγων·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

῾Ο Χορός·

᾿Αλληλούϊα· ᾿Αλληλούϊα· ᾿Αλληλούϊα·

῾Ο ῾Ιερεύς·

Σοφία. ᾿Ορθοί. ᾿Ακούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Εὐλογῶν δέ τόν λαόν λέγει τό·

Εἰρήνη πᾶσι.

῾Ο Χορός·

Καί τῷ πνεύματί σου.

῾Ο Διάκονος·

᾿Εκ τοῦ κατά (δεῖνα) ἁγίου Εὐαγγελίου τό ἀνάγνωσμα.

῾Ο ῾Ιερεύς· Πρόσχωμεν.

Εἶτα μετά τήν ἀνάγνωσιν τοῦ Εὐαγγελικοῦ ἀναγνώσματος ὁ ῾Ιερεύς εὐλογῶν τόν Διάκονον καί λέγει·

Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.

῾Ο Χορός·

Δόξα σοι, Κύριε, δόξα σοι.

῾Ο ῾Ιερεύς δέ, λαμβάνει τό ἅγιον Εὐαγγέλιον ἀπό τῶν χειρῶν τοῦ Διακόνου, καί ἀποθέτει αὐτό εἰς τήν ἁγίαν Τράπεζαν καί ὁ Διάκονος λέγει τήν μεγάλην ἐκτενῆ·

Εἴπομεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καί ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

᾿Ελέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

῎Ετι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καί μοναχῶν, καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει (ἤ τῇ χώρᾳ, ἤ τῇ κώμῃ, ἤ τῇ νήσῳ) καί ἐνορία ταύτῃ, τῶν ἐνοριτῶν ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης (ἤ τῶν ἀδελφῶν τῆς ἱερᾶς Μονῆς ταύτης καί τῶν εὐλαβῶν προσκυνητῶν).

[Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καί ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἤ Μονῆς) ταύτης, καί ὑπέρ πάντων τῶν προαναπαυσαμένων πατέρων καί ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καί ἁπανταχοῦ ὀρθοδόξων.]

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καί καλλιεργούντων ἐν τῷ ἁγίῳ καί πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καί ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τό παρά σοῦ μέγα καί πλούσιον ἔλεος.

Ὁ Ἱερεύς λέγει μυστικῶς τήν εὐχήν τῆς ἐκτενοῦς ἱκεσίας·

Κύριε ὁ Θεός ἡμῶν, τήν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρά τῶν σῶν δούλων, καί ἐλέησον ἡμᾶς κατά τό πλῆθος τοῦ ἐλέους σου· καί τούς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καί ἐπί πάντα τόν λαόν σου,

τόν ἀπεκδεχόμενον τό παρά σοῦ μέγα καί πλούσιον ἔλεος.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ. Οἱ πιστοί, ὑπέρ τῶν κατηχουμένων δεηθῶμεν. Ἵνα ὁ Κύριος αὐτούς ἐλεήσῃ. Κατηχήσῃ αὐτούς τόν λόγον τῆς ἀληθείας. Ἀποκαλύψῃ αὐτοῖς τό εὐαγγέλιον τῆς δικαιοσύνης. Ἑνώσῃ αὐτούς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καί ἀποστολικῇ Ἐκκλησία. Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καί διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι. Οἱ κατηχούμενοι, τάς κεφαλάς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Τῶν Κατηχουμένων λεγόντων ὑπό τοῦ Διακόνου, ὁ Ἱερεύς διαβάζει μυστικῶς τήν εὐχήν ὑπέρ τῶν Κατηχουμένων.

(Πρό τοῦ ἁπλωθῆναι τό Εἱλητόν)

**Κ**ύριε ὁ Θεός ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καί τά ταπεινά ἐφορῶν, ὁ διά τήν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τόν μονογενῆ σου Υἱόν καί Θεόν, τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπί τούς δούλους σου τούς Κατηχουμένους, τούς ὑποκεκλικότας σοι τόν ἑαυτῶν αὐχένα· καί καταξίωσον αὐτούς, ἐν καιρῷ εὐθέτῳ, τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καί τοῦ ἐνδύματος τῆς ἀφθαρσίας· ἕνωσον αὐτούς τῇ Ἁγίᾳ σου, Καθολικῇ καί Ἀποστολικῇ Ἐκκλησίᾳ καί συγκαταρίθμησον αὐτούς τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ἵνα καί αὐτοί σύν ἡμῖν δοξάζωσι τό πάντιμον καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα, ὁ Ἱερεύς λαβών τό ἅγιον Εὐαγγέλιον καί ποιεῖ δι᾽ αὐτοῦ τό σημεῖον τοῦ Σταυροῦ ἐπάνω εἰς τό Εἰλητόν, καί ἀνοίγει αὐτό ἐπάνω ἐπί τῆς ἁγίας Τραπέζης, ἐνῷ ἀποθέτει τό ἅγιον Εὐαγγέλιον εἰς τό ἐπάνω μέρος αὐτῆς.

Ὁ Διάκονος συνεχίζων·

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε. Ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων. Ὅσοι πιστοί, ἔτι καί ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

Ὁ δέ Ἱερεύς μετά τό ἀπλωθῆναι τό Εἰλητόν, λέγει μυστικῶς τήν εὐχήν ὑπέρ τῶν Πιστῶν.

## ΕΥΧΗ ΤΩΝ ΠΙΣΤΩΝ Α΄

**Ε**ὐχαριστοῦμέν σοι, Κύριε, ὁ Θεός τῶν Δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καί νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ καί προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπέρ τῶν ἡμετέρων ἁμαρτημάτων καί τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι, ὁ Θεός, τήν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις καί ἱκεσίας καί θυσίας ἀναιμάκτους ὑπέρ παντός τοῦ λαοῦ σου· καί ἱκάνωσον ἡμᾶς, οὕς ἔθου εἰς τήν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου, ἀκαταγνώστως καί ἀπροσκόπτως, ἐν καθαρῷ

τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντί καιρῷ καί τόπῳ· ἵνα, εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης, ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα τιμή, καί προσκύνησις, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς λέγει μυστικῶς τήν δευτέραν εὐχήν ὑπέρ τῶν Πιστῶν.

## ΕΥΧΗ ΤΩΝ ΠΙΣΤΩΝ Β΄

Πάλιν καί πολλάκις σοί προσπίπτομεν καί σοῦ δεόμεθα, ἀγαθέ καί φιλάνθρωπε, ὅπως, ἐπιβλέψας ἐπί τήν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τάς ψυχάς καί τά σώματα ἀπό παντός μολυσμοῦ σαρκός καί πνεύματος· καί δώῃς ἡμῖν ἀνένοχον καί ἀκατάκριτον τήν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός, καί τοῖς συνευχομένοις ἡμῖν προκοπήν βίου καί πίστεως καί συνέσεως πνευματικῆς· δός αὐτοῖς πάντοτε, μετά φόβου καί ἀγάπης λατρεύειν σοι, ἀνενόχως καί ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καί τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅπως ὑπό τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοί δόξαν ἀναπέμπωμεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα δέ, ὁ Χορός ἄρχεται ψάλλειν τόν Χερουβικόν ὕμνον.

Ο Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δέ Ἱερεύς, κλινόμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης διαβάζει μυστικῶς, καί μετά πάσης εὐλαβείας τήν εὐχήν ᾀδομένου τοῦ Χειρουβικοῦ·

Οὐδείς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καί ἡδοναῖς προσέρχεσθαι ἤ προσεγγίζειν ἤ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης. Τό γάρ διακονεῖν σοι μέγα καί φοβερόν, καί αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ᾽ ὅμως, διά τήν ἄφατον καί ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καί ἀναλλοιώτως γέγονας ἄνθρωπος καί ἀρχιευρεύς ἡμῶν ἐχρημάτισας, καί τῆς λειτουργικῆς ταύτης καί ἀναιμάκτου θυσίας τήν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων. Σύ γάρ μόνος, Κύριε ὁ Θεός ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καί τῶν ἐπιγείων, ὁ ἐπί θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφείμ Κύριος, καί βασιλεύς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος, καί ἐν ἁγίοις ἀναπαυόμενος. Σέ τοίνυν δυσωπῶ τόν μόνον ἀγαθόν καί εὐήκοον· ἐπίβλεψον ἐπ᾽ ἐμέ τόν ἁμαρτωλόν καί ἀχρεῖον δοῦλόν σου, καί καθάρισόν μου τήν ψυχήν καί τήν καρδίαν ἀπό συνειδήσεως πονηρᾶς· καί ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τήν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καί ἱερουργῆσαι τό ἅγιον καί ἄχραντόν σου σῶμα καί τό τίμιον αἷμα. Σοί γάρ προσέρχομαι, κλίνας τόν ἐμαυτοῦ αὐχένα, καί δέομαί σου· Μή ἀποστρέψῃς τό πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, μηδέ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ᾽ ἀξίωσον προσενεχθῆναί σοι ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καί ἀ-

ναξίου δούλου σου τά δῶρα ταῦτα. Σύ γάρ εἶ ὁ προσφέρων καί προσφερόμενος, καί προσδεχόμενος, καί διαδιδόμενος, Χριστέ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πα-τρί καί τῶ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Ἱερεύς λέγει μυστικῶς·

Οἱ τά Χερουβίμ μυστικῶς εἰκονίζοντες, καί τῇ ζωοποιῷ Τριάδι τόν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τήν βιοτικήν ἀποθώμεθα μέριμνα.

Ὁ Διάκονος συμπληρῶν·

Ὡς τόν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

Εἶτα ὁ Ἱερεύς λαβῶν τό θυμιατόν, καί ἀφοῦ εὐλογήσει τό θυμίαμα θυμιᾷ κύκλωθεν τῆς ἁγίας Τραπέζης, λέγων καθ' ἑαυτόν τά ἑπόμενα Τροπάρια·

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δέ μετά ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δέ μετά Λῃστοῦ, καί ἐν Θρόνω ὑπῆρχες, Χριστέ, μετά Πατρός καί Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα Πατρί.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καί παστάδος πάσης Βασιλικῆς, ἀναδέδεικται λαμπρότερος Χριστέ, ὁ Τάφος σου, ἡ πηγή τῆς ἡμῶν ἀναστάσεως.

Καί νῦν. Θεοτοκίον.

Τό τοῦ Ὑψίστου ἡγιασμένον Θεῖον σκήνωμα, Χαῖρε, διά σοῦ γάρ δέδοται ἡ χαρά Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σύν ἐν Γυναξίν ὑπάρχεις, Πανάμωμε Δέσποινα.

Ὕστερον δέ εἰσέρχεται εἰς τήν Ὡραίαν Πύλην καί θυμιᾷ τόν ἀρχιερατικόν θρόνον, τάς Δεσποτικάς εἰκόνας, καί τόν λαόν, λέγων δέ τόν Ν΄ Ψαλμόν μέχρι καί τοῦ στίχου, Ὁ Θεός οὐκ ἐξουδενώσει. Εἰσελθών δέ πάλιν εἰς τό ἅγιον βῆμα θυμιᾷ καί πάλιν τήν ἁγίαν Τράπεζαν, τήν ἁγίαν πρόθεσιν καί ὅλον τό ἱερατεῖον, ἀποθέτει τό θυμιατόν εἰς τήν θέσιν του, τότε ὁ Ἱερεύς καί ὁ Διάκονος ἵστανται ἔμπροσθεν τῆς ἁγίας τραπέζης λέγοντες ἀμφότεροι τά ἑπόμενα Τροπάρια·

Ἥμαρτον εἰς σέ Σωτήρ, ὡς ὁ Ἄσωτος υἱός, δέξαι με Πάτερ μετανοοῦντα, καί ἐλέησόν με ὁ Θεός.

Κάζω σοι Χριστέ Σωτήρ, τοῦ Τελώνου τήν φωνήν. Ἱλάσθητί μοι, ὥσπερ ἐκείνῳ καί ἐλέησόν με ὁ Θεός.

Τήν ταχεῖαν σου σκέπην καί τήν βοήθειαν καί τό ἔλεος δεῖξον ἐπί τῷ δούλῳ σου, καί τά κύματα, Ἁγνή, σύ καταπράϋνον τῶν ματαίων λογισμῶν, καί τήν πεσοῦσάν μου ψυχήν ἀνάστησον, Θεοτόκε· οἶδα γάρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καί βούλεσαι.

Καί προσκυνοῦντες ἀμφότεροι ἐκ γ΄ τήν ἁγίαν Τράπεζαν ἀσπάζονται τό ἅγιον Ἀντιμήνσιον, στρέφοντες πρός τόν λαόν καί κλίναντες τήν κεφαλήν των ἀπέρχονται εἰς τήν ἁγίαν Πρόθεσιν, ὁ δέ ἱερεύς λέγει τά ἑπόμενα τροπάρια.

Ὡς ὁ περιπεσών εἰς τούς ληστάς, καί τεραυματισμένος, οὕτω κἀγώ περιέπεσα ἐξ ἐμῶν ἁμαρτιῶν, καί τετραυματισμένη ὑπάρχει μου ἡ ψυχή· πρός τίνα καταφύγω ὁ ὑπεύθυνος ἐγώ, εἰμή πρός σέ τόν εὔσπλαγχνον, τῶν ψυχῶν τόν ἰατρόν; ἐπίχεε ἐπ' ἐμέ, ὁ Θεός, τό μέγα σου ἔλεος.

Ὡς ὁ Ἄσωτος υἱός, ἦλθον κἀγώ Οἰκτίρμον· δέξαι με προπίπτοντα, ὡς ἕνα τῶν μισθίων σου, ὁ Θεός, καί ἐλέησόν με.

Σε τόν ἀναβαλλόμενον, τό φῶς ὥσπερ ἱμάτιον, καθελών Ἰωσήφ ἀπό τοῦ ξύλου, σύν Νικοδήμῳ, καί θεωρήσας νεκρόν, γυμνόν, ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβών, ὀδυρόμενος ἔλεγεν· Οἴμοι, γλυκύτατε Ἰησοῦ! ὅν πρό μικροῦ ὁ ἥλιος ἐν Σταυρῷ κρεμάμενον θεασάμενος ζόφον περιεβάλλετο, καί ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καί διερρήγνυτο Ναοῦ τό καταπέτασμα· ἀλλ' ἰδού νῦν βλέπω σε, δι' ἐμέ ἑκουσίως ὑπελθόντα θάνατον· πῶς σέ κηδεύσω Θεέ μου; ἤ πῶς σινδόσιν εἱλήσω; ποίαις χερσί δέ προσψαύσω τό σόν ἀκήρατον Σῶμα; ἤ ποῖα ᾄσματα μέλψω τῇ σῇ ἐξόδῳ Οἰκτίρμον; Μεγαλύνω τά Πάθη σου, ὑμνολογῶ καί τήν Ταφήν σου, σύν τῇ Ἀναστάσει, κραυγάζων· Κύριε δόξα σοι.

Καί μετά τό τέλος αὐτῶν λέγουσιν·

Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με. (ἐκ γ΄)

Εἶτα ἀσπάζονται τά ἅγια λέγοντες·

Ἅγιος ὁ Θεός ὁ πατήρ ὁ Ἄναρχος, Ἅγιος ἰσχυρός ὁ Υἱός ὁ Συνάναρχος, Ἅγιος ἀθάνατος τό Παράκλητον Πνεῦμα, τό ἐκ Πατρός ἐκπορευόμενον καί ἐν Υἱῷ ἀναπαυόμενον. Τριάς Ἁγία δόξα σοι.

Εἶτα ὁ Διάκονος λέγει·

Ἔπαρον, Δέσποτα.

Ὁ Ἱερεύς, ἄρας τόν Ἀέρα καί τόν θέτει ἐν τοῖς ὤμοις τοῦ Διακόνου, λέγων·

Εν εἰρήνῃ ἐπάρατε τάς χεῖρας ὑμῶν εἰς τά ἅγια καί εὐλογεῖτε τόν Κύριον.

Εἶτα λαβών τό ἅγιον Δισκάριον καλυμμένον, καί δίδει αὐτό μετά προσοχῆς τῷ Διακόνῳ. Αὐτός δέ λαμβάνει τό ἅγιον Ποτήριον καί λέγει·

Ἀνέβη ὁ Θεός ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Ἐξερχόμενοι δέ τῆς βορείας πύλης ποιοῦσιν τήν μεγάλην εἴσοδον, καί ὁ λέγει·

Πάντων ὑμῶν, καί πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὅταν δέ ἔλθουν εἰς τήν Ὡραίαν Πύλην, ὁ Διάκονος εἰσέρχεται εἰς τόν ἱερόν Βῆμα. Ὁ δέ Ἱερεύς στάς εἰς τήν Ὡραίαν Πύλην, κρατῶντας τό ἅγιον Ποτήριον, καί βλέπωντας πρός τόν λαόν μνημονεύει ὡς ἔχει ἐπικρατήσει κατά συνήθειαν·

Τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους καί πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ. Τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ. Τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει (ἤ τῇ χώρᾳ, ἤ τῇ κώμῃ, ἤ τῇ νήσῳ) ταύτῃ. Τῶν ἐνοριτῶν, Ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου καί πάντων ἡμῶν τῶν προσελθόντων εἰς τήν θείαν μυσταγωγίαν ταύτην.

Τῶν μακαρίων καί ἀοιδίμων κτιτόρων, ἀνακαινιστῶν καί ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου, τῶν ὑπέρ πίστεως καί πατρίδος ἀγωνισαμένων καί πεσόντων καί πάντων τῶν ἐπ᾽ ἐλπίδι ἀναστάσεως, ζωῆς αἰωνίου, κεκοιμημένων πατέρων καί ἀδελφῶν ἡμῶν, μνησθείη Κύ-

ριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα μετά τήν μνημόνευσιν, ὁ Ἱερεύς εἰσέρχεται εἰς τό ἅγιον Βῆμα , καί λέγει πρός αὐτόν ὁ Διάκονος·

Τῆς Ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Καί ὁ Ἱερεύς πρός τόν Διάκονον.

Τῆς Ἱεροδιακονίας σου μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Καί ὁ μέν Ἱερεύς, ἀποθέτει τό ἅγιον Ποτήριον, ἐπάνω εἰς τό Ἀντιμήνσιον εἰς τό δεξιόν μέρος αὐτοῦ, λαβῶν δέ καί τό ἅγιον Δισκάριον ἀπό τάς χεῖρας τοῦ Διακόνου, ἀποθέτει καί αὐτό ἐπάνω εἰς τό Ἀντιμήνσιον, καί εἰς τό ἀριστερόν μέρος αὐτοῦ. Αἴρει δέ τά καλύμματα ἀπό αὐτά, καί λέγει συγχρόνως τά ἑξῆς Τροπάρια.

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπό τοῦ ξύλου καθελών τό ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἰλήσας καί ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Ταῖς Μυροφόροις Γυναιξί, παρά τό μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα. Τά μῦρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστός δέ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Ὅτε κατῆλθες πρός τόν θάνατον ἡ ζωή ἡ ἀθάνατος, τότε τόν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δέ καί τούς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ ὁ Θεός ἡμῶν, δόξα σοι.

Εἶτα λαβών τόν ᾿Αέρα ἀπό τούς ὤμους τοῦ Διακόνου, σκεπάζει τά Ἅγια μέ αὐτόν, καί ἀσπάζονται ὁμοῦ. Εἶτα λέγει ὁ Διάκονος τῷ Ἱερεῖ.

᾿Αγάθυνον, Δέσποτα.

Ὁ δέ Ἱερεύς, λαβών τό θυμιατόν, θυμιᾷ τά Ἅγια καί λέγει τόν τελευταῖον στίχον τοῦ Ψαλμοῦ Ν'.

Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν σου μόσχους (γ΄).

Ὁ Ἱερεύς ἀφοῦ ἀποθέσει τό θυμιατόν, λέγει τῷ Διακόνῳ.

Μνήσθητί μου, ἀδελφέ καί συλλειτουργέ.

Ὁ Διάκονος·

Μνησθείη Κύριος ὁ Θεός τῆς Ἱερωσύνης σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ δέ Διάκονος, ὑποκλίνας τήν κεφαλήν λέγει τῷ Ἱερεῖ·

Εὖξαι ὑπέρ ἐμοῦ, Δέσποτα ἅγιε.

Ὁ Ἱερεύς·

Πνεῦμα Ἅγιον ἅγιον ἐπελεύσεται ἐπί σέ, καί δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Ὁ Διάκονος·

Αὐτό τό Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τάς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Ὁ Διάκονος πάλιν·

Μνήσθητί μου, Δέσποτα ἅγιε.

Ὁ Ἱερεύς·

Τῆς διακονίας σου μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα ὁ Διάκονος, ἀφοῦ εἰπεῖν τό Ἀμήν, ἀσπάζεται τήν δεξιάν τοῦ Ἱερέως καί λέγει τά πληρωτικά.

Ὁ Χορός, μεθ᾽ ἑκάστην Αἴτησιν λέγει·

Κύριε, ἐλέησον.

Πληρώσωμεν τήν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπέρ τῶν προτεθέντων, τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου καί τῶν μετά πίστεως, εὐλαβείας καί φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ Χορός, μεθ᾽ ἑκάστην Αἴτησιν·

Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστόν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καί ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τά καλά καί συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καί εἰρήνην τῷ κόσμῳ παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τόν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καί μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανά τά τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καί καλήν ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εἶτα ὁ Ἱερεύς μετά τήν ἀπόθεσιν τῶν τιμίων Δώρων εἰς τήν ἁγίαν Τράπεζαν διαβάζει μυστικῶς τήν εὐχήν τῆς προσκομιδῆς.

**Κ**ύριε ὁ Θεός ὁ παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρά τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καί ἡμῶν τῶν ἁμαρτωλῶν τήν δέησιν, καί προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καί ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καί θυσίας πνευματικάς ὑπέρ τῶν ἡμετέρων ἁμαρτημάτων καί τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καί καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τήν θυσίαν ἡμῶν, καί ἐπισκηνῶσαι τό Πνεῦμα τῆς χάριτός σου τό ἀγαθόν ἐφ᾽ ἡμᾶς, καί ἐπί τά προκείμενα δῶρα ταῦτα, καί ἐπί πάντα τόν λαόν σου.

Ὁ Ἱερεύς, ἐκφώνως·

Διά τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, εὐλογῶν τόν λαόν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καί τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ Χορός·

Πατέρα, Υἱόν καί Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καί ἀχώριστον.

Ὁ Ἱερεύς προσκυνεῖ τρίς, ἀσπάζεται δέ τά Ἅγια καί λέγει μυστικῶς.

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καί καταφυγή μου, καί ρύστης μου.

Ἐάν δέ τελεῖται συλλείτουργον, γίνεται μεταξύ τῶν Ἱερέων ὁ ἀσπασμός, ἀρχομένου ἀπό ἀριστερά πρός τά δεξιά, καί τέλος τήν δεξιάν χεῖρα τοῦ ἑτέρου, λέγοντες διαλογικῶς ὁ εἷς· Ὁ Χριστός ἐν τῷ μέσῳ ἡμῶν· καί ὁ ἕτερος· Καί ἔστι καί ἔσται.

Ὁ Διάκονος·

Τάς θύρας, τάς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Ἱερεύς, ἄρας τόν Ἀέρα καί ὑψῶν, ἀνασείει αὐτόν ἀνοικτόν ἐπάνω τῶν τιμίων Δώρων· εἶτα, διπλώνει αὐτόν καί ἀσπασάμενος, θέτει αὐτόν μετά τῶν ἄλλων καλυμμάτων.

Ὁ Λαός λέγει· Πιστεύω εἰς ἕνα Θεόν.

Ὁ Διάκονος·

Στῶμεν καλῶς· στῶμεν μετά φόβου· πρόσχωμεν. Τήν ἁγίαν ἀναφοράν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Χορός·

Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ Ἱερεύς, λαβών τόν διπλωμένον Ἀέρα διά τῆς δεξιᾶς αὐτοῦ χειρός, ριπίζει τά ἅγια καί ἐκφωνεῖ·

῾Η χάρις τοῦ Κυρίου ἡμῶν ᾿Ιησοῦ Χριστοῦ, καί ἡ ἀγάπη τοῦ Θεοῦ καί Πατρός, καί ἡ κοινωνία τοῦ ῾Αγίου Πνεύματος.

Καί εὐλογῶν τόν λαόν λέγει·

εἴη μετά πάντων ὑμῶν.

῾Ο Χορός· Καί μετά τοῦ πνεύματός σου.

῾Υψῶν δέ τάς χεῖρας ὁ ῾Ιερεύς λέγει·

῎Ανω σχῶμεν τάς καρδίας.

῾Ο Χορός·

῎Εχομεν πρός τόν Κύριον.

Εἶτα ὑποκλίνεται πρός τήν εἰκόνα τοῦ Χριστοῦ καί λέγει·

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

῾Ο Χορός·

῎Αξιον, καί δίκαιον ἐστί.

Εἶτα, ὁ ῾Ιερεύς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, διαβάζει μυστικῶς τήν εὐχήν τῆς ᾿Αναφορᾶς.

Ἄξιον καί δίκαιον σέ ὑμνεῖν, σέ εὐλογεῖν, σέ αἰνεῖν, σοί εὐχαριστεῖν, σέ προσκυνεῖν ἐν παντί τόπῳ τῆς δεσποτείας σου. Σύ γάρ εἶ Θεός ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεί ὤν, ὡσαύτως ὤν· Σύ, καί ὁ μονογενής σου Υἱός, καί τό Πνεῦμά σου τό ῞Αγιον. Σύ ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι ἡμᾶς παρήγαγες, καί παραπεσόντας ἀνέστησας πάλιν, καί οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τόν οὐρανόν ἀνήγαγες, καί τήν βασιλείαν σου, ἐχαρίσω τήν μέλ- λουσαν. ῾Υπέρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καί τῷ μονογενεῖ σου Υἱῷ, καί τῷ Πνεύματί σου τῷ ῾Αγίῳ, ὑπέρ πάντων, ὧν ἴσμεν, καί ὧν οὐκ ἴσμεν, τῶν φανερῶν, καί ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καί ὑπέρ τῆς λειτουργίας ταύτης, ἥν ἐκ τῶν χειρῶν ἡμῶν

δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγγέλων, καί μυριάδες ἀγγέλων, τά Χερουβείμ, καί τά Σεραφείμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

Ἐκφώνως·

Τόν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καί λέγοντα·

Τούτου δέ λέγοντος, ὁ Διάκονος λαβών τόν ἀστερίσκον ἀπό τό ἅγιον Δισκάριον, ποιῶν δέ τό σημεῖον τοῦ Σταυροῦ ἐπάνω αὐτοῦ, καί σπογγίσας καλῶς θέτει αὐτόν εἰς τά καλύμματα.

Ὁ Χορός·

Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανός καί ἡ γῆ τῆς δόξης σου. Ὡσαννά ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννά ἐν τοῖς ὑψίστοις.

Ὁ Ἱερεύς κλινόμενος λέγει μυστικῶς τήν εὐχήν·

Μετά τούτων καί ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καί λέγομεν· Ἅγιος εἶ καί πανάγιος Σύ, καί ὁ μονογενής σου Υἱός, καί τό Πνεῦμά σου τό Ἅγιον. Ἅγιος εἶ καί πανάγιος, καί μεγαλοπρεπής ἡ δόξα σου· Ὅς τόν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τόν Υἱόν σου τόν μονογενῆ δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν μή ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωήν αἰώνιον· Ὅς, ἐλθών, καί πᾶσαν τήν ὑπέρ ἡμῶν οἰκονομίαν πληρώσας, τῇ νυκτί, ᾗ παρεδίδοτο, μᾶλλον δέ ἑαυτόν παρεδίδου ὑπέρ τῆς τοῦ κόσμου ζωῆς, λαβών ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ καί ἀχράντοις καί ἀμωμήτοις χερσίν, εὐχαριστήσας καί εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καί ἀποστόλοις, εἰπών·

Ὁ Ἱερεύς, μετά τῆς δεξιᾶς αὐτοῦ χειρός δεικνύων τό ἅγιον Ἄρτον ἐκφωνεῖ·

Λάβετε, φάγετε· τοῦτό μού ἐστι τό σῶμα, τό ὑπέρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς μυστικῶς·

Ὁμοίως καί τό Ποτήριον, μετά τό δειπνῆσαι, λέγων·

Δεικνύων δέ, τό ἅγιον Ποτήριον ὁ Ἱερεύς ἐκφωνεῖ·

Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τό αἷμά μου, τό τῆς καινῆς Διαθήκης, τό ὑπέρ ὑμῶν καί πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς κλινόμενος πάλιν λέγει τήν εὐχήν μυστικῶς·

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καί πάντων τῶν ὑπέρ ἡμῶν γεγενημένων· τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανούς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας καί ἐνδόξου πάλιν παρουσίας,

Εἶτα ὁ Διάκονος, ἤ ὁ Ἱερεύς, ἔχων σταυρωμένας τάς χεῖρας καί κρατῶντας διά τῆς δεξιᾶς αὐτοῦ χειρός τό ἅγιον Δισκάριον, καί διά τῆς ἀριστερᾶς αὐτοῦ χειρός τό ἅγιον Ποτήριον, ὑψώνει αὐτά καί ἐκφωνεῖ λέγων·

Τά σά ἐκ τῶν σῶν, σοί προσφέρομεν κατά πάντα, καί διά πάντα.

Ὁ Χορός·

Σέ ὑμνοῦμεν, σέ εὐλογοῦμεν, σοί εὐχαριστοῦμεν, Κύριε, καί δεόμεθά σου, ὁ Θεός ἡμῶν.

Ὁ Ἱερεύς κλίνας τήν κεφαλήν λέγει μυστικῶς·

Ἔτι προσφέρομέν σοι τήν λογικήν ταύτην καί ἀναίμακτον λατρείαν, καί παρακαλοῦμέν σε, καί δεόμεθα,

καί ἱκετεύομεν. Κατάπεμψον τό Πνεῦμά σου τό Ἅγιον ἐφ᾽ ἡμᾶς, καί ἐπί τά προκείμενα δῶρα ταῦτα.

Εἶτα ὁ Ἱερεύς καί ὁ Διάκονος, προσκυνοῦσι τρίς ἕκαστος, ἔμπροσθεν τῆς ἁγίας Τραπέζης λέγοντες· Ὁ Θεός ἱλάσθητι μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με.

Εἶτα, ὁ Διάκονος λέγει·

Εὐλόγησον, Δέσποτα, τόν ἅγιον Ἄρτον.

Ὁ Ἱερεύς εὐλογῶντόν ἅγιον Ἄρτον καί ποιεῖ τό σημεῖον τοῦ Σταυροῦ ἐπάνω αὐτοῦ λέγει·

Καί ποίησον τόν μέν Ἄρτον τοῦτον, τίμιον Σῶμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν.

Εὐλόγησον, Δέσποτα, τό ἅγιον Ποτήριον.

Ὁ Ἱερεύς, εὐλογεῖ τό ἅγιον Ποτήριον, καί λέγει·

Τό δέ ἐν τῷ ποτηρίῳ τούτῳ, τίμιον Αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος· Ἀμήν.

Εὐλόγησον, Δέσποτα, ἀμφότερα τά Ἅγια.

Ὁ Ἱερεύς, εὐλογεῖ τόν ἅγιον Ἄρτον καί τό ἅγιον Ποτήριον μαζί, σταυροειδῶς λέγοντας·

Μεταβαλών τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Ὁ Διάκονος· Ἀμήν· Ἀμήν· Ἀμήν·

Ὁ Ἱερεύς ὑποκλινόμενος λέγει τήν εὐχήν μυστι- κῶς·

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ Ἁγίου σου Πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παρρησίαν τήν πρός σέ, μή εἰς κρῖμα, ἤ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τήν λογικήν ταύτην λατρείαν, ὑπέρ τῶν ἐν πίστει ἀναπαυσαμένων Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Ἐγκρατευτῶν, καί παντός πνεύματος δικαίου ἐν πίστει τετελειωμένου,

Εἶτα, ὁ Ἱερεύς θυμιᾷ τρίς τά Ἅγια, ἐκφωνεῖ·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας.

Ὁ Χορός ψάλλει τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τήν Θεοτόκον...

Τοῦ Μεγαλυναρίου τῆς Θεοτόκου δέ, ψαλλομένου ὑπό τοῦ δεξιοῦ Χοροῦ, ὁ Ἱερεύς διαβάζει μυστικῶς τήν εὐχήν·

Τοῦ ἁγίου Ἰωάννου, προφήτου, Προδρόμου καί Βαπτιστοῦ· τῶν ἁγίων, ἐνδόξων καί πανευφήμων Ἀποστόλων· τοῦ ἁγίου (τοῦ δεῖνος), οὗ καί τήν μνήμην ἐπιτελοῦμεν, καί πάντων σου τῶν Ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καί μνήσθητι πάντων τῶν κεκοιμημένων ἐπ᾽ ἐλπίδι ἀναστάσεως, ζωῆς αἰωνίου (καί μνημονεύει ἐνταῦθα, ὁ ἱερουργῶν, ὀνομαστί ὧν ἄν βούληται τεθνεώτων), καί ἀνάπαυσον αὐτούς, ὁ Θεός ἡμῶν, ὅπου ἐπισκοπεῖ τό φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε· μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τόν λόγον τῆς σῆς ἀληθείας, παντός τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας καί παντός ἱερατικοῦ καί μοναχικοῦ τάγματος. Ἔτι προσφέρομέν σοι τήν λογικήν ταύτην λατρείαν ὑπέρ τῆς οἰκουμένης· ὑπέρ τῆς ἁγίας, καθολικῆς καί ἀποστολικῆς Ἐκκλησίας· ὑπέρ τῶν ἐν ἁγνείᾳ καί σεμνῇ πολιτείᾳ διαγόντων· ὑπέρ τῶν πιστοτάτων καί φιλοχρίστων ἡμῶν βασιλέων, παντός τοῦ παλατίου, καί τοῦ στρατοπέδου αὐτῶν. Δός αὐτοῖς, Κύριε, εἰρηνικόν τό βασίλειον, ἵνα καί ἡμεῖς, ἐν τῇ γαλήνῃ αὐτῶν, ἤρεμον καί ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καί σεμνότητι.

Εἰς τό σημεῖον δέ αὐτό, ὁ Ἱερεύς εὐλογεῖ τό ἀντίδωρον.

Εἶτα, ὁ Ἱερεύς ἐκφωνεῖ·

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὅν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καί ὀρθοτομοῦντα τόν λόγον τῆς σῆς ἀληθείας.

Ὁ Διάκονος στάς εἰς τήν Ὡραίαν Πύλην ἐκφωνεῖ·

Καί ὧν ἕκαστος κατά διάνοιαν ἔχει, καί πάντων καί πασῶν.

Ὁ Χορός·

Καί πάντων καί πασῶν.

Ὁ Ἱερεύς ὑποκλινόμενος λέγει τήν εὐχήν μυστικῶς·

**Μ**νήσθητι, Κύριε, τῆς πόλεως, (ἤ τῆς χώρας, ἤ τῆς νήσου, ἤ τῆς Μονῆς) ταύτης, ἐν ᾗ παροικοῦμεν, καί πάσης πόλεως καί χώρας, καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων καί καλλιεργούντων ἐν ταῖς ἁγίαις σου Ἐκκλησίαις καί μεμνημένων τῶν πενήτων, καί ἐπί πάντας ἡμᾶς τά ἐλέη σου ἐξαπόστειλον.

Ὁ Ἱερεύς ἐκφωνεῖ·

Καί δός ἡμῖν, ἐν ἑνί στόματι καί μιᾷ καρδίᾳ, δοξάζειν καί ἀνυμνεῖν τό πάντιμον καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς εὐλογεῖ τόν λαόν, καί λέγει·

Καί ἔσται τά ἐλέη τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετά πάντων ὑμῶν.

Ὁ Χορός·

Καί μετά τοῦ πνεύματός σου.

Ὁ Διάκονος·

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καί ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Οἱ Χοροί ἐναλλάξ τό·

Κύριε, ἐλέησον.

Ὑπέρ τῶν προσκομισθέντων, καί ἁγιασθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεός ἡμῶν, ὁ προσδεξάμενος αὐτά εἰς τό ἅγιον, καί ὑπερουράνιον, καί νοερόν αὐτοῦ Θυσιαστήριον, εἰς ὀσμήν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τήν θείαν Χάριν, καί τήν δωρεάν τοῦ Ἁγίου Πνεύματος δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστόν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καί ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τά καλά καί συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καί εἰρήνην τῷ κόσμῳ παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τόν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καί μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανά τά τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καί καλήν ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τήν ἑνότητα τῆς πίστεως, καί τήν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς, κλινόμενος, λέγει τήν εὐχήν μυστι- κῶς·

Σοί παρακατατιθέμεθα τήν ζωήν ἡμῶν ἅπασαν καί τήν ἐλπίδα, Δέσποτα, φιλάνθρωπε, καί παρακαλοῦμέν σε καί δεόμεθα καί ἱκετεύομεν· Καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου καί φρικτῶν μυστηρίων ταύτης τῆς ἱερᾶς καί πνευματικῆς τραπέζης, μετά καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς Πνεύματος Ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παρησίαν τήν πρός σέ, μή εἰς κρῖμα, ἤ εἰς κατάκριμα.

Ὁ Ἱερεύς ἐκφώνως·

Καί καταξίωσον ἡμᾶς, Δέσποτα, μετά παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαί σε, τόν ἐπουράνιον Θεόν, Πατέρα, καί λέγειν.

Ὁ λαός ἀπαγγέλει τήν Κυριακή Προσευχήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γενηθήτω τό θέλημά Σου, ὡς ἐν οὐρανῷ καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καί, μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ρῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὁ Ἱερεύς ἐκφώνως.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς εὐλογεῖ τόν λαόν, καί λέγει·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καί τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Ἱερεύς, κλινόμενος, λέγει τήν εὐχήν μυστικῶς·

Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τά πάντα δημιούργησας, καί τῷ πλήθει τοῦ ἐλέους σου, ἐξ οὐκ ὄντων εἰς τό εἶναι παραγαγών τά σύμπαντα. Αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπί τούς ὑποκεκλικότας τάς ἑαυτῶν κεφαλάς· Οὐ γάρ ἔκλιναν σαρκί καί αἵματι, ἀλλά σοί, τῷ φοβερῷ Θεῷ. Σύ οὖν, Δέσποτα, τά προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθόν ἐξομάλισον, κατά τήν ἑκάστου ἰδίαν χρείαν. Τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· τούς νοσοῦντας ἴασαι· ὁ ἰατρός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν.

Ὁ Ἱερεύς ἐκφώνως.

Χάριτι καί οἰκτιρμοῖς καί φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾿ οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός, ἀργῶς· Ἀμήν.

Ὁ Ἱερεύς κλινόμενος ἐπεύχεται μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καί ἀπό θρόνου δόξης τῆς βασιλείας σου, καί ἐλθέ εἰς τό ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πα-

τρί συγκαθήμενος καί ὧδε ἡμῖν ἀοράτως συνών. Καί καταξίωσον τῇ κραταιᾷ σου χειρί μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καί τοῦ τιμίου αἵματος, καί δι᾿ ἡμῶν παντί τῷ λαῷ.

Μετά δέ τήν Εὐχήν, προσκυνεῖ τρίς λέγων καθ᾿ ἑαυτόν·

Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με.

Ὁ Διάκονος, ἔξω ἱστάμενος, ἐκφωνεῖ·

Πρόσχωμεν.

Ὁ Ἱερεύς, βαλών τάς χεῖρας, ἅπτεται τοῦ ζωοποιοῦ Ἄρτου μετ᾿ εὐλαβείας καί φόβου πολλοῦ, ὑψώνει δέ αὐτόν καί ποιῶν τό σχῆμα τοῦ σταυροῦ, ἐκφωνεῖ·

Τά Ἅγια τοῖς ἁγίοις.

Ὁ Χορός·

Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καί εἶτα ψάλλει τό Κοινωνικόν τῆς ἡμέρας·

Ὁ Διάκονος·

Μέλισον, Δέσποτα, τόν ἅγιον Ἄρτον.

Ὁ Ἱερεύς μελίζει αὐτόν εἰς τέσσαρα τμήματα μετά προσοχῆς καί εὐλαβείας λέγων·

Μελίζεται καί διαμερίζεται ὁ Ἀμνός τοῦ Θεοῦ, ὁ μελιζόμενος, καί μή διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καί μηδέποτε δαπανώμενος, ἀλλά τούς μετέχοντας ἁγιάζων.

Καί κατατάττει τά τέσσαρα τμήματα ταῦτα σταυροειδῶς ἐν τῷ ἁγίῳ Δισκαρίῳ.

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Ὁ Διάκονος

Πληρωσον, Δέσποτα, τό ἅγιον Ποτήριον.

῾Ο δέ ῾Ιερεύς, λαβών τήν μερίδα, τήν ἔχουσαν τούς χαρακτῆρας, **ΙΣ**, ποιεῖ σταυρόν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, καί βάζει αὐτήν εἰς αὐτό λέγων·

Πλήρωμα ποτηρίου πίστεως, Πνεύματος ῾Αγίου.

῾Ο Διάκονος· ᾿Αμήν.

Καί λαβών αὐτός τό Ζέον, λέγει πρός τόν ῾Ιερέα·

Εὐλόγησον, Δέσποτα, τό Ζέον.

῾Ο δέ ῾Ιερεύς εὐλογεῖ, λέγων·

Εὐλογημένη ἡ ζέσις τῶν ῾Αγίων σου, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

Καί ὁ Διάκονος βάζει σταυροειδῶς ζέον ὅσον χρειάζεται, ἐντός τοῦ ἁγίου Ποτηρίου, λέγοντος τοῦ ῾Ιερέως.

Ζέσις πίστεως, πλήρης Πνεύματος ἁγίου.

῾Ο Διάκονος· ᾿Αμήν.

Εἶτα ὁ ῾Ιερεύς ἤ ὁ Διάκονος, διαβάζει μυστικῶς τάς εὐχάς πρό τῆς Μεταλήψεως.

Πρό τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα, καί τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι, ἀλλά σύ Χριστέ ὁ Θεός, ὁ τελώνην δικαιώσας, καί χαναναίαν ἐλεήσας, καί τῷ ληστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τά σπλάγχνα τῆς φιλανθρωπίας σου καί δέξαι με προσερχόμενον καί ἁπτόμενόν σου, ὡς τήν πόρνην, καί τήν αἱμόρρουν· ἡ μέν γάρ, τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τήν ἴασιν ἔλαβεν, ἡ δέ, τούς σούς ἀχράντους πόδας κρατήσασα, τήν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. ᾿Εγώ δέ ὁ ἐλεεινός, ὅλον σου τό σῶμα τολμῶν δέξασθαι, μή καταφλεχθείην· ἀλλά δέξαι με, ὥσπερ ἐκείνας καί φώτισόν μου τά τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τά τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε, καί τῶν ἐπουρανίων δυνάμεων. ῞Οτι εὐλογητός εἶ, εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

Πιστεύω Κύριε, καί ὁμολογῶ, ὅτι σύ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱός τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθών εἰς τόν κόσμον ἁμαρτωλούς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τό ἄχραντον Σῶμά σου, καί τοῦτο αὐτό ἐστι τό τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καί συγχώρησόν μοι τά παραπτώματά μου, τά ἑκούσια καί τά ἀκούσια, τά ἐν λόγῳ τά ἐν ἔργῳ, τά ἐν γνώσει καί ἀγνοίᾳ· καί ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον. Ἀμήν.

Ἐρχόμενος δέ μεταλαβεῖν, λέγει τούς ἑξῆς Στίχους τοῦ Μεταφραστοῦ·

Ἰδού, βαδίζω πρός θείαν Κοινωνίαν·
Πλαστουργέ, μή φλέξῃς με τῇ μετουσίᾳ·
Πῦρ γάρ ὑπάρχεις τούς ἀναξίους φλέγον.
Ἀλλ᾽ οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Εἶτα τό Τροπάριον·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱέ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μή γάρ τοῖς ἐχθροῖς σου τό μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ Ληστής ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Εἶτα πάλιν τούς παρόντας Στίχους·

Θεουργόν Αἷμα φρῖξον, ἄνθρωπε βλέπων·
Ἄνθραξ γάρ ἐστι τούς ἀναξίους φλέγων·
Θεοῦ τό Σῶμα, καί θεοῖ με, καί τρέφει·
Θεοῖ τό πνεῦμα, τόν δέ νοῦν τρέφει ξένως.

Καί τά Τροπάρια ταῦτα·

Ἔθελξας πόθῳ με Χριστέ, καί ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλά κατάφλεξον πυρί ἀΰλῳ τάς ἁμαρτίας μου, καί ἐμπλησθῆναι τῆς ἐν σοί τρυφῆς καταξίωσον, ἵνα τάς δύο σκιρτῶν μεγαλύνω, Ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; Ἐάν γάρ τολμήσω συνεισελθεῖν εἰς τόν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καί δέσμιος ἐκβαλοῦμαι ὑπό τῶν Ἀγγέλων· καθάρισον, Κύριε, τόν ῥύπον τῆς ψυχῆς μου, καί σῶσόν με, ὡς φιλάνθρωπος.

Καί τήν παροῦσαν Εὐχήν·

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μή εἰς κρῖμα μοι γένοιτο τά Ἅγια ταῦτα, διά τόν ἀνάξιον εἶναί με, ἀλλ' εἰς κάθαρσιν καί ἁγιασμόν ψυχῆς τε καί σώματος, καί εἰς ἀρραβῶνα μελλούσης ζωῆς καί βασιλείας. Ἐμοί δέ τό προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τήν ἐλπίδα τῆς σωτηρίας μου.

Καί πάλιν·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱέ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μή γάρ τοῖς ἐχθροῖς σου τό μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ Ληστής ὁμολογῷ σοι· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Ἐνταῦθα ὅ τε Ἱερεύς καί καί Διάκονος ἀνιστάμενοι ὑψοῦσι τάς χεῖράς των ἔμπροσθεν τῆς ἁγίας Τραπέζης ἐπευχόμενοι μυστικῶς·

Εὐλογεῖτε με θεῖοι Ἄγγελοι, Ἀρχάγγελοι, Ἀρχαί, Κυριότητες καί Ἐξουσίαι, τά πολυόμματα Χερουβίμ, καί τά ἑξαπτέρυγα Σεραφίμ, τόν ἀνάξιον (δεῖνα) ἱερέα, (ἤ ἱερομόναχον).

Παναγία Δέσποινα Θεοτόκε, πρέσβευε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Πᾶσαι αἱ οὐράνιαι Δυνάμεις τῶν ἁγίων Ἀγγέλων καί Ἀρχαγγέλων, πρεσβεύσατε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε Ἰωάννη προφῆτα, καί πρόδρομε, καί βαπτιστά τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρέσβευεὑπέρ ἡμῶν τὼν ἁμαρτωλῶν.

Ἅγιοι ἔνδοξοι Ἀπόστολοι, Προφῆται, καί Μάρτυρες, καί πάντες Ἅγιοι, πρεσβεύσατε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ὅσιοι θεοφόροι Πατέρες ἡμῶν, ποιμένες, καί διδάσκαλοι τῆς οἰκουμένης, πρεσβεύσατε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἡ ἀήττητος, καί ἀκατάλυτος, καί θεία δύναμις τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ, μή ἐγκαταλίπῃς ἡμᾶς τούς ἁμαρτωλούς.

Τότε προσέρχονται ἵνα κοινωνήσωσιν· ὁ δέ Ἱερεύς λέγει τῷ Διακόνῳ ἤ τῷ συλλειτουργῷ του, ἤ τοῖς τυχόν παρισταμένοις ἄλλοις κληρικοῖς ὑποκλινόμενος.

Ἀδελφέ, καί συλλειτουργέ, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ.

(ἤ συγχωρήσατέ μοι, ἀδελφοί καί πατέρες, τῷ ἁμαρτωλῷ.)

Ἀποκρίνεται δέ ὁ Διάκονος·

Τῆς ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλεία αὐτοῦ πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα λέγει, ὁ Ἱερεύς, τρίς·

Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καί ἐλέησόν με.

Καί πλησιάσας εἰς τά Ἅγια μετά φόβου καί τρόμου, λαμβάνει ἕν μέρος (μίαν μερίδα) ἐκ τοῦ ἁγίου Ἄρτου (**χσ**), καί λέγει·

Ἰδού, προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καί Θεῷ ἡμῶν. Μεταδίδοταί μοι (τῷ δεῖνι) τῷ ἀναξίῳ Πρεσβυτέρῳ (ἤ Πρεσβυτέρῳ καί μοναχῷ), τό τίμιον καί πανάγιον Σῶμα τοῦ Κυρίου καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον.

Καί οὕτω μεταλαμβάνει τοῦ ἐν χερσίν αὐτοῦ ἁγίου Ἄρτου μετά φόβου καί πάσης εὐλαβείας, λέγων· Ἀμήν.

Εἶτα λέγει εἰς τόν Διάκονον·

Διάκονε, πρόσελθε.

Ὁ Διάκονος προσελθών καί ἁπλώσας τάς χεῖρας σταυροειδῶς, ἔχων τήν δεξιάν ἐπί τῆς ἀριστερᾶς παλάμης, λέγει·

Ἰδού, προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καί Θεῷ ἡμῶν. Μετάδος μοι, Δέσποτα (τῷ δεῖνι) τῷ ἀναξίῳ Διακόνῳ, τό τίμιον καί πανάγιον Σῶμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν μου ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον.

Ὁ δέ Ἱερεύς, κρατῶν τήν μερίδα τοῦ ἁγίου Ἄρτου, δίδει εἰς τόν Διάκονον, λέγων·

Μεταδίδοταί σοι (τῷ δεῖνι) τῷ εὐλαβεστάτῳ Διακόνῳ τό τίμιον, καί πανάγιον Σῶμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον.

Ὁ δέ Διάκονος, ἀσπασάμενος τήν μεταδοῦσαν αὐτῷ χεῖρα, λαμβάνει τόν ἅγιον Ἄρτον καί ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς Τραπέζης· καί κλίνας τήν κεφαλήν, μεταλαμβάνει, τοῦ ἐν τῇ παλάμῃ αὐτοῦ.

Τό αὐτό ποιοῦσι καί οἱ Ἱερεῖς, ὅταν συλλειτουργοῦσιν.

Ὁ πρῶτος τῶν Ἱερέων, ἀφ᾽ οὗ μεταλάβῃ τοῦ τιμίου Σώματος, μεταδίδει τοῦτο καί εἰς τόν Διάκονον.

Εἶτα ὁ Ἱερεύς λαμβάνει τό κάλυμμα καί καλῶς ἐπιστηρίξας ὑπό τόν πώγωνα αὐτοῦ, λαμβάνει, ἀμφοτέραις ταῖς χερσί, σύν τῷ καλύμματι τό ἅγιον Ποτήριον, καί λέγει·

Ἔτι μεταδίδοταί μοι (τῷ δεῖνι) τῷ ἀναξίῳ Πρεσβυτέρῳ (ἤ Πρεσβυτέρῳ καί μοναχῷ), τό τίμιον, καί πανάγιον Αἷμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν μου ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον.

Καί μεταλαμβάνει τρίτον ἐξ αὐτοῦ, οὐδέν λέγων· καί ἀποσπογγίσας δια τοῦ ἐν χερσί καλύμματος τά τε ἴδια χείλη καί τό ἅγιον Ποτήριον, καί παρά τό χεῖλος ἔξωθεν τό Ποτήριον ἀσπασάμενος, καί ὑψών αὐτό λέγει·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καί ἀφελεῖ Κύριος πάσας τάς ἀνομίας μου καί τάς ἁμαρτίας μου περικαθαριεῖ.

Καλεῖ δέ τόν Διάκονον, λέγων·

Διάκονε, ἔτι πρόσελθε.

Ἐλθών δέ ὁ Διάκονος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης σπογγίζει μετά τῆς Μούσης τήν παλάμην αὐτοῦ ἐπί τοῦ ἁγίου Δισκαρίου μετά προσοχῆς, καί λέγει·

Μετάδός μοι, Δέσποτα, (τῷ δεῖνι) τῷ ἀναξίῳ Διακόνῳ, τό τίμιον καί πανάγιον Αἷμα τοῦ Κυρίου καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καί εἰς ζωήν αἰώνιον.

Καί ὁ Ἱερεύς, μεταδιδούς αὐτῷ τρίς ἐκ τοῦ ἁγίου Ποτηρίου, λέγει·

Μεταδίδοταί σοι (τῷ δεῖνι) τῷ εὐλαβεστάτῳ Διακόνῳ, τό τίμιον καί πανάγιον, Αἷμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καί εἰς ζωήν αἰώνιον. Ἀμήν.

Εἶτα ἀποσπογγίσας καί αὐτός διά τοῦ ἐν χερσί καλύμματος τά τε ἴδια χείλη καί τοῦ ἱεροῦ Ποτηρίου, ἀσπάζεται τό ἅγιον Ποτήριον.

Εἶτα ὁ Ἱερεύς, ὑψώνει τό ἅγιον Ποτήριον, λέγει·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καί ἀφελεῖ Κύριος πάσας τάς ἀνομίας μου καί τάς ἁμαρτίας μου περικαθαριεῖ.

Εἶτα ὁ Διάκονος λαμβάνει τό ἅγιον Δισκάριον μέ τήν ἀριστεράν χεῖρα καί διά τῶν δύο δακτύλων τῆς δεξιᾶς χειρός τήν Μοῦσαν, καί βάζει τίς μερίδες τοῦ ἁγίου Σώματος (τό ὑπόλοιπον τοῦ **χσ**, τό **ισ** καί **κα**), καί τεμαχίζει αὐτά εἰς μικρά τεμάχια ἐάν πρόκηται νά μεταλάβῃ τούς πιστούς, μέσα εἰς τό ἅγιον Ποτήριον, μετά προσοχῆς καί εὐλαβείας, λέγων·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον, Κύριον Ἰησοῦν, τόν μόνον ἀναμάρτητον. Τόν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καί τήν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καί δοξάζομεν· σύ γάρ εἶ Θεός ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τό ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί προσκυνήσωμεν τήν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοῦ γάρ ἦλθε διά τοῦ Σταυροῦ, χαρά ἐν ὅλῳ τῷ κόσμῳ· διά παντός εὐλογοῦντες τόν Κύριον, ὑμνοῦμεν τήν ἀνάστασιν αὐτοῦ· Σταυρόν γάρ ὑπομείνας δι᾿ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Λέγει δέ, καί τήν θ΄ ᾠδήν τοῦ Κανόνος τοῦ Πάσχα·

Ὦ Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γάρ δόξα Κυρίου ἐπί σέ ἀνέτειλε. Χόρευε νῦν, καί ἀγάλλου Σιών, σύ δέ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὦ θείας, ὤ φίλης, ὤ γλυκυτάτης σου φωνῆς· μεθ᾽ ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἥν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὦ Πάσχα τό μέγα, καί ἱερώτατον Χριστέ· ὤ σοφία καί Λόγε, τοῦ Θεοῦ καί δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Εἶτα ὁ Ἱερεύς τεμαχίζει τίς μερίδες τοῦ ἁγίου Ἄρτου, ὁ δέ Διάκονος λαβών εἰς τάς χεῖρας του τό ἅγιον Δισκάριον, καί τήν μοῦσαν, ρίχνει μέσα εἰς τό ἅγιον Ποτήριον, πρῶτα τό ἅγιον Σῶμα καί ὕστερα τήν μερίδα τῆς Θεοτόκου, τίς μερίδες τῶν ἐννέα ταγμάτων, καί τέλος τίς μερίδες τῶν ζώντων καί κεκοιμημένων, λέγοντας·

**Ἀ**πόπλυνον, Κύριε, τά ἁμαρτήματα τῶν ἐνθάδε μνημονευθέντων δούλων σου τῷ Αἵματί σου τῷ ἁγίῳ· πρεσβείαις τῆς Θεοτόκου καί πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Ὅταν τελειώσει ἡ συστολή, ὁ Ἱερεύς κτυπᾶ σταυροειδῶς μέ τόν Ἀστερίσκον τό ἅγιον Δισκάριον, γιά νά κάνει κατάληξη τοῦ κοινωνικοῦ ὁ Ψάλτης, καί ὁ Διάκονος ἀνοίγει τήν Ὡραίαν Πύλην καί λαμβάνει τό ἅγιον Ποτήριον ἀπό τόν Ἱερέα, ἔρχεται εἰς τήν Ὡραίαν Πύλην καί λέγει·

Μετά φόβου Θεοῦ, πίστεως καί ἀγάπης προσέλθετε.

Εἶτα γίνεται ἡ μετάληψις τῶν πιστῶν ἐκτός τοῦ ἱεροῦ Βήματος. Ὅπου ὁ Ἱερεύς λαμβάνει τό ἅγιον Ποτήριον ἀπό τάς χεῖρας τοῦ Διακόνου, κοινωνεῖ τούς πιστούς λέγοντας εἰς ἕκαστον·

Μεταδίδοταί σοι τό Σῶμα καί τό Αἷμα τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καί εἰς ζωήν αἰώνιον. Ἀμήν.

Κατά τήν διάρκειαν τῆς θείας Κοινωνίας τῶν πιστῶν, ὁ Χορός ψάλλει Τοῦ δείπνου σου τοῦ μυστικοῦ..., ἐνῶ κατά τήν πασχάλιον περίοδον, Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Εἶτα μετά τό τέλος τῆς θείας Κοινωνίας τῶν πιστῶν ὁ Ἱερεύς εὐλογεῖ τόν λαόν καί λέγει·

Σῶσον ὁ Θεός τόν Λαόν σου, καί εὐλόγησον τήν κληρονομίαν σου.

Ὁ Χορός ψάλλει τό·

Εἴδομεν τό φῶς τό ἀληθινόν...

Εἶτα ὁ Ἱερεύς εἰσέρχεται είς τήν ἁγίαν Τράπεζαν, ἀποθέτει τό ἅγιον Ποτήριον, καί λαβών τό θυμιατόν λέγει ὁ Διάκονος μυστικῶς·

Ὕψωσον, Δέσποτα.

Ὁ Ἱερεύς, θυμιᾷ (ἐκ γ´) τά Ἅγια, λέγων μυστικῶς·

Ὑψώθητι ἐπί τούς οὐρανούς, ὁ Θεός, καί ἐπί πᾶσαν τήν γῆν ἡ δόξα σου (ἐκ γ´).

Εἶτα ἀποθέτει τό θυμιατόν, καί δίδει εἰς τόν Διάκονον τό ἅγιον Δισκάριον μέ τά καλύμματα, μή ὑπάρχοντος ὅμως τοῦ Διακόνου, λαμβάνει ὁ ἴδιος τό ἅγιον Δισκάριον καί τό ἅγιον Ποτήριον, καί λέγει μυστικῶς·

Εὐλογητός ὁ Θεός ἡμῶν.

Εἶτα στραφείς πρός τόν Λαόν λέγει ἐκφώνως·

Πάντοτε νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Διάκονος ἐξερχόμενος, στάς ἐν τῷ συνήθει τόπῳ, λέγει.

Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων ἐπουρανίων καί ζωοποιῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως, εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον αἰτησάμενοι, ἑαυτούς, καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. (Καί εἰσέρχεται ἐν τῷ Ἱερῷ).

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς διπλώνει τό Ἀντιμήνσιον, βάζοντας τήν μοῦσα μέσα εἰς αὐτό, καί διαβάζει μυστικῶς τήν εὐχήν·

Εὐχαριστοῦμεν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καί τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καί ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τήν ὁδόν, στήριξον πάντας ἡμᾶς ἐν τῷ φόβῳ σου· φρούρησον ἡμῶν τήν ζωήν, ἀσφάλισαι ἡμῶν τά διαβήματα· εὐχαῖς καί ἱκεσίαις τῆς ἐνδόξου, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, καί πάντων τῶν Ἁγίων σου.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι σύ εἶ ὁ ἁγιασμός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, λαμβάνει τό ἅγιον Εὐαγγέλιον, ποιεῖ δι᾽ αὐτοῦ Σταυρόν καί ἀποθέτει αὐτό ἐπί τοῦ διπλωθέντος Ἀντιμηνσίου, εἶτα στρεφόμενος πρός τόν λαόν ἐκφωνεῖ·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Εἶτα ὁ Ἱερεύς ἐξελθών τῆς Ὡραίας Πύλης, καί στάς ἔμπροσθεν τῆς Δεσποτικῆς εἰκόνος τοῦ Χριστοῦ, λέγει τήν ὀπισθάμβωνον Εὐχήν·

Ὁ εὐλογῶν τούς εὐλογοῦντάς σε Κύριε, καί ἁγιάζων τούς ἐπί σοί πεποιθότας, σῶσον τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σου. Τό πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τούς ἀγαπῶντας τήν εὐπρέπειαν τοῦ οἴκου σου· Σύ αὐτούς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καί μή ἐγκαταλίπῃς ἡμᾶς τούς ἐλπίζοντας ἐπί σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, [τοῖς βασιλεῦσιν ἡμῶν], τῷ στρατῷ καί παντί τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθή καί πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρός τῶν φώτων· καί σοί τήν δόξαν καί εὐχαριστίαν καί προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα οἱ δύο Χοροί, ψάλλουν ἐναλλάξ τό·

Εἴη τό ὄνομα Κυρίου εὐλογημένον, ἀπό τοῦ νῦν καί ἕως τοῦ αἰῶνος. (γ΄)

Ὁ δέ Ἱερεύς εἰσέρχεται ἐν τῇ ἱερά Προθέσει καί λέγει μυστικῶς τήν Εὐχήν ἐν τῷ συστεῖλαι τά ἅγια.

Τό πλήρωμα τοῦ Νόμου καί τῶν Προφητῶν αὐτός ὑπάρχων, Χριστέ ὁ Θεός ἡμῶν, ὁ πληρώσας πᾶσαν τήν

πατρικήν οἰκονομίαν, πλήρωσον χαρᾶς καί εὐφροσύνης τάς καρδίας ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς ἐξερχόμενος εὐλογεῖ τόν Λαόν, λέγων·

Εὐλογία Κυρίου καί ἔλεος αὐτοῦ ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καί φιλανθρωπίᾳ, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, ἐκφώνως·

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπίς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης·

Δόξα Πατρί καί Υἱῷ καί ἁγίῳ Πνεύματι. Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον (γ΄). Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς ποιεῖ τήν μεγάλην ἀπόλυσιν· καί ἐάν μέν εἶναι Κυριακή λέγει· Ὁ ἀναστάς ἐκ νεκρῶν, ἤ τό χαρακτηριστικόν τῆς Δεσποτικῆς ἑορτῆς, εἰ δέ μή, ἁπλῶς·

Χριστός ὁ ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καί παναμώμου ἁγίας αὐτοῦ Μητρός· δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καί βαπτιστοῦ Ἰωάννου, (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστι προφήτης)· τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων· (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστιν ἀπόστολος)· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων, (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστιν ἱεράρχης)· τοῦ ἐν ἁγίοις πατρός ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου· τῶν ἁγίων, ἐνδόξων καί καλλινίκων Μαρτύρων· (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστι

μάρτυς)· τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν, (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστιν ὅσιος)· τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας, εἴ ἐστι μέγας), οὗ καί τήν μνήμην ἐπιτελοῦμεν, καί πάντων τῶν Ἁγίων, ἐλεήσαι καί σώσαι ἡμᾶς, ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός.

Εἶτα ὁ Ἱερεύς λέγει·

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς.

Οἱ Χοροί καί ὅλος ὁ λαός. Ἀμήν.

Ὁ Ἱερεύς εὐλογῶν τόν λαόν, λέγει·

Ἡ ἁγία Τριάς διαφυλάξοι πάντα ὑμᾶς.

Καί ὁ λαός ἀντεύχεται αὐτῷ λέγων.

Τόν εὐλογοῦντα καί ἁγιάζοντα ἡμᾶς, Κύριε φύλαττε εἰς πολλά ἔτη.

Ὁ δέ Ἱερεύς ἐπευχόμενος καί εὐλογῶν τούς εὐσεβεῖς, λέγει.

Φυλάξαι Κύριος ὁ Θεός πάντας ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καί φιλανθρωπία, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Ἱερεύς, διανέμει τό Ἀντίδωρον εἰς τούς πιστούς. Ὁ δέ Διάκονος εἰσέρχεται εἰς τήν ἁγίαν Πρόθεσιν, καί προσκυνήσας τρίς συστέλλει τά Ἅγια μετά φόβου καί πάσης εὐλαβείας. Μή ὑπάρχοντος ὅμως τοῦ Διακόνου, ἡ συστολή γίνεται ἀπό τόν Ἱερέα.

## ΕΥΧΑΡΙΣΤΙΑ
## ΜΕΤΑ ΤΗΝ ΘΕΙΑΝ ΜΕΤΑΛΗΨΙΝ

Στίχοι προτρεπτικοί.

Ἐπάν δέ τύχῃς τῆς καλῆς μετουσίας
Τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,
Ὕμνησον εὐθύς, εὐχαρίστησον μέγα.

Καί τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε·
Δόξα σοι, ὁ Θεός, Δόξα σοι, ὁ Θεός,
Δόξα σοι, ὁ Θεός.

Καί εὐθύς τάς ἑπομένας Εὐχαριστηρίους Εὐχάς.

## ΑΝΩΝΥΜΟΥ

**Ε**ὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι οὐκ ἀπώσω με τόν ἁμαρτωλόν, ἀλλά κοινωνόν με γενέσθαι τῶν ἁγιασμάτων σου κατηξίωσας. Εὐχαριστῷ σοι, ὅτι με τόν ἀνάξιον μεταλαβεῖν τῶν ἀχράντων σου καί ἐπουρανίων δωρεῶν κατηξίωσας. Ἀλλά, Δέσποτα φιλάνθρωπε, ὁ ὑπέρ ἡμῶν ἀποθανών τε καί ἀναστάς, καί χαρισάμενος ἡμῖν τά φρικτά ταῦτα καί ζωοποιά σου μυστήρια, ἐπ᾽ εὐεργεσίᾳ καί ἁγιασμῷ τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, δός γενέσθαι ταῦτα κἀμοί εἰς ἴασιν ψυχῆς τε καί σώματος, εἰς ἀποτροπήν παντός ἐναντίου, εἰς φωτισμόν τῶν ὀφθαλμῶν τῆς καρδίας μου, εἰς εἰρήνην τῶν ψυχικῶν μου δυνάμεων, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονήν σοφίας, εἰς περιποίησιν τῶν ἐντολῶν σου, εἰς προσθήκην τῆς θείας σου χάριτος, καί τῆς σῆς βασιλείας οἰκείωσιν· ἵνα, ἐν τῷ ἁγιασμῷ σου δι᾽ αὐτῶν φυλαττόμενος, τῆς σῆς χάριτος μνημονεύω διαπαντός, καί μηκέτι ἐμαυτῷ ζῶ, ἀλλά σοί τῷ ἡμετέρῳ Δεσπότῃ καί εὐεργέτῃ. Καί οὕτω τοῦ τῇδε βίου ἀπάρας ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, εἰς τήν ἀΐδιον κατντήσω ἀνάπαυσιν, ἔνθα ὁ τῶν ἑορταζόντων ἦχος ὁ ἀκατάπαυστος, καί ἡ ἀπέραντος ἡδονή τῶν καθορώντων τοῦ σοῦ προσώπου τό κάλλος τό ἄρρητον. Σύ γάρ εἶ τό ὄντως ἐφετόν, καί ἡ ἀνέκφραστος εὐφροσύνη τῶν ἀγαπώντων σε, Χριστέ ὁ Θεός ἡμῶν, καί σέ ὑμνεῖ πᾶσα ἡ κτίσις εἰς τούς αἰῶνας. Ἀμήν.

## ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Δέσποτα Χριστέ ὁ Θεός, βασιλεῦ τῶν αἰώνων, καί δημιουργέ τῶν ἁπάντων, εὐχαριστῶ σοι ἐπί πᾶσιν, οἷς παρέσχου μοι ἀγαθοῖς, καί ἐπί τῇ μεταλήψει τῶν ἀχράντων καί ζωοποιῶν σου μυστηρίων. Δέομαι οὖν σου, ἀγαθέ καί φιλάνθρωπε· φύλαξόν με ὑπό τήν σκέπην σου, καί ἐν τῇ τῶν πτερύγων σου σκιᾷ· καί δώρησαί μοι ἐν καθαρῷ συνειδότι, μέχρις ἐσχάτης μου ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον. Σύ γάρ εἶ ὁ ἄρτος τῆς ζωῆς, ἡ πηγή τοῦ ἁγιασμοῦ, ὁ δοτήρ τῶν ἀγαθῶν· καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ Πατρί καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ

Ὁ δούς τροφήν μοι σάρκα σήν ἑκουσίως,
ὁ πῦρ ὑπάρχων, καί φλέγων ἀναξίους,
μή δή καταφλέξῃς με, μή, πλαστουργέ μου·
μᾶλλον δίελθε πρός μελῶν μου συνθέσεις,
εἰς πάντας ἁρμούς, εἰς νεφρούς, εἰς καρδίαν.
Φλέξον δ᾿ ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
ψυχήν κάθαρον, ἁγίασον τάς φρένας·
τάς ἰγνύας στήριξον, ὀστέοις ἅμα·
αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·
ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ.
Ἀεί σκέπε, φρούρει τε καί φύλαττέ με
ἐκ παντός ἔργου, καί λόγου ψυχοφθόρου.
Ἅγνιζε, καί κάθαρε, καί ρύθμιζέ με·
κάλλυνε, συνέτιζε, καί φώτιζέ με·
δεῖξόν με σόν σκήνωμα Πνεύματος μόνου,
καί μηκέτι σκήνωμα τῆς ἁμαρτίας·
ἵν᾿ ὡς σόν οἶκον, εἰσόδῳ κοινωνίας,
ὡς πῦρ με φεύγῃ πᾶς κακοῦργος, πᾶν πάθος.

Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
τάς ταξιαρχίας τε τῶν Ἀσωμάτων,
τόν Πρόδρομόν σου, τούς σοφούς Ἀποστόλους,
πρός τοῖς δέ, σήν ἄχραντον ἁγνήν Μητέρα·
ὧν τάς λιτάς, εὔσπλαχνε, δέξαι Χριστέ μου,
καί φωτός παῖδα, τόν σόν ἔργασαι λάτριν.
Σύ γάρ ὑπάρχεις ἁγιασμός, καί μόνος
ἡμῶν, ἀγαθέ, τῶν ψυχῶν, καί λαμπρότης,
καί σοί πρεπόντως, ὡς Θεῷ καί Δεσπότῃ,
δόξαν ἅπαντες πέμπομεν καθ᾿ ἡμέραν.

## ΕΥΧΗ ΕΤΕΡΑ ΑΝΩΝΥΜΟΥ

Τό Σῶμα σου τό ἅγιον, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, γένοιτό μοι εἰς ζωήν αἰώνιον, καί τό Αἷμά σου τό τίμιον, εἰς ἄφεσιν ἁμαρτιῶν. Γένοιτο δέ μοι ἡ εὐχαριστία αὕτη εἰς χαράν, ὑγείαν καί εὐφροσύνην· καί ἐν τῇ φοβερᾷ καί δευτέρᾳ ἐλεύσει σου ἀξίωσόν με τόν ἁμαρτωλόν στῆναι ἐκ δεξιῶν τῆς σῆς δόξης, πρεσβείαις τῆς παναχράντου σου Μητρός, καί πάντων σου τῶν Ἁγίων. Ἀμήν.

## ΑΝΩΝΥΜΟΥ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ

Παναγία Δέσποινα Θεοτόκε, τό φῶς τῆς ἐσκοτισμένης μου ψυχῆς, ἡ ἐλπίς, ἡ σκέπη, ἡ καταφυγή, ἡ παραμυθία, τό ἀγαλλίαμά μου, εὐχαριστῶ σοι, ὅτι ἠξίωσάς με τόν ἀνάξιον κοινωνόν γενέσθαι τοῦ ἀχράντου Σώματος καί τοῦ τιμίου Αἵματος τοῦ Υἱοῦ σου. Ἀλλ᾿ ἡ τεκοῦσα τό ἀληθινόν φῶς, φώτισόν μου τούς νοητούς ὀφθαλμούς τῆς καρδίας· ἡ τήν πηγήν τῆς ἀθανασίας κυήσασα, ζωοποίησόν με τόν τεθανατωμένον τῇ ἁμαρτίᾳ· ἡ τοῦ ἐλήμονος Θεοῦ φιλεύσπλαχνος Μήτηρ, ἐλέησόν με, καί δός κατάνυξιν καί συντριβήν ἐν τῇ καρδίᾳ μου, καί ταπείνωσιν ἐν τοῖς διανοήμασί μου, καί ἀνάκλησιν ἐν ταῖς αἰχμαλωσίαις τῶν λογισμῶν μου. Καί ἀξίωσόν με,

μέχρι τελευταίας μου ἀναπνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τῶν ἀχράντων Μυστηρίων τόν ἁγιασμόν, εἰς ἴασιν ψυχῆς τε καί σώματος· καί παράσχου μοι δάκρυα μετανοίας καί ἐξομολογήσεως, εἰς τό ὑμνεῖν καί δοξάζειν σε πάσας τάς ἡμέρας τῆς ζωῆς μου. Ὅτι εὐλογημένη καί δεδοξασμένη ὑπάρχεις εἰς τούς αἰῶνας. Ἀμήν.

Εἶτα ὁ Ἱερεύς ἀποδυσάμενος τήν ἱερατικήν του στολήν λέγει·

Νῦν ἀπολύεις τόν δοῦλόν σου, Δέσποτα, κατά τό ῥῆμα σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τό σωτήριόν σου, ὅ ἡτοίμασας κατά πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καί δόξαν λαοῦ σου Ἰσραήλ.

Εἶτα λέγει, τό Τρισάγιον κ. λ. π., τό Ἀπολυτίκιον τοῦ Ἁγίου τῆς ἡμέρας καί τό Θεοτοκίον, τοῦ Ναοῦ καί τοῦ ἱεροῦ Χρυσοτόμου.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσός ἐκλάμψασα χάρις, τήν οἰκουμένην ἐφώτισεν· ἀφιλαργυρίας τῷ κόσμῳ θησαυρούς ἐναπέθετο· τό ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. Ἀλλά σοῖς λόγοις παιδεύων, πάτερ Ἰωάννη Χρυσόστομε, πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τάς ψυχάς ἡμῶν.

Τό Κοντάκιον τοῦ Χρυσοστόμου.

Ἐκ τῶν οὐρανῶν ἐδέξω τήν θείαν χάριν, καί διά τῶν σῶν χειλέων πάντας διδάσκεις, προσκυνεῖν ἐν Τριάδι τόν ἕνα Θεόν, Ἰωάννη Χρυσόστομε, παμμακάριστε, ὅσιε. Ἐπαξίως εὐφημοῦμέν σε· ὑπάρχεις γάρ καθηγητής, ὡς τά θεῖα σαφῶν.

Καί τό·

Οὐρανός πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τούς πιστούς, ἐν ᾧ ἑστῶτες κραυγάζομεν. Τοῦτον τόν Οἶκον στέρωσον, Κύριε.

Κύριε, ἐλέησον (ιβ΄). Δόξα. Καί νῦν. Τήν τιμιωτέραν τῶν Χερουβείμ..... Καί ποιεῖ τήν Ἀπόλυσιν ὡς συνήθως, εἶτα ἀσπάζεται τήν ἁγίαν Τράπεζαν καί λέγει τό· Δι᾿ εὐχῶν.....καί ἐξέρχεται ἐκ τοῦ Ναοῦ.

# H UEIA

# LEITOYRGIA

# TOY EN AGIOIS PATROS HMVN

# BASILEIOY TOY MEGALOY



# H UEIA LSITOYR- TOY EN AGIOIS PATROS HMVN

῾Η Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου δέν τελεῖται πάντοτε, τελεῖται μόνον τήν 1ην ᾿Ιανουαρίου, τάς πέντε Κυριακάς τῶν Νηστειῶν, τήν Μεγάλην Πέμπτην πού τελεῖται μαζί μέ τόν ῾Εσπερινόν, τό Σάββατον τοῦ Λαζάρου, καί τήν παραμονήν τῶν Χριστουγέννων καί Θεοφανείων πού τελεῖται ἐπίσης μαζί μέ τόν ῾Εσπερινόν.

῾Ο Διάκονος·

Εὐλόγησον, Δέσποτα.

῾Ο ῾Ιερεύς ἱστάμενος ἔμπροσθεν τῆς ἁγίας Ταπέζης, καί ποιῶν μετά τοῦ Εὐαγγελίου τύπον σταυροῦ ἐκφωνεῖ·

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

῾Ο Διάκονος λέγει τά εἰρηνικά, ἐνῶ οἱ Χοροί μεθ᾿ ἑκάστην Δέησιν, ἐναλλάξ, ψάλλουσιν ἅπαξ, τό· Κύριε ἐλέησον.

᾿Εν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῆς ἄνωθεν εἰρήνης καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου Οἴκου τούτου, καί τῶν μετά πίστεως, εὐλαβείας καί φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ κλήρου καί τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ συμπολεμῆσαι καί ὑποτάξαι ὑπό τό κράτος αὐτοῦ, πάντα ἐχθρόν καί πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς πόλεως (ἤ τῆς χώρας, ἤ τῆς κώμης, ἤ τῆς νήσου, ἤ τῆς ἁγίας Μονῆς) ταύτης, πάσης πόλεως, χώρας, καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καί καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ψάλλεται τό Α΄ Ἀντίφωνον, παρά τῶν Χορῶν, ἤ ἡ πρώτη στάσις τῶν τυπικῶν. Εἰ μέν ἐστι Δεσποτική, ἤ Θεομητορική ἑορτή, ἤ ἀπόδοσις, ἤ μεθέορτα Δεσποτικῆς, ἤ Θεομητορικῆς ἑορτῆς ψάλλονται τά Ἀντίφωνα τῆς ἑορτῆς, ὁ δέ Ἱερεύς ἀναγινώσκει τήν εὐχήν τοῦ πρώτου ἀντιφώνου.

**Κ**ύριε ὁ Θεός ἡμῶν, οὗ τό κράτος ἀνείκαστον, καί ἡ δόξα ἀκατάληπτος· οὗ τό ἔλεος ἀμέτρητον, καί ἡ φιλανθρωπία ἄφατος· αὐτός, Δέσποτα, κατά τήν εὐσπλαγχνίαν σου, ἐπίβλεψον ἐφ᾿ ἡμᾶς καί ἐπί τόν ἅγιον οἶκον τοῦτον, καί ποίησον μεθ᾿ ἡμῶν, καί τῶν συνευχομένων ἡμῖν, πλούσια τά ἐλέη σου καί τούς οἰκτιρμούς σου.

Εἶτα ὁ Διάκονος ἐκφωνεῖ τήν μικράν Συναπτήν.

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι σόν τό κράτος, καί σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις, καί ἡ δόξα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ψάλλεται ὑπό τῶν δύο Χορῶν τό Γ΄ Ἀντίφωνον, ἤ οἱ Μακαρισμοί, ὁ Ἱερεύς ἀναγινώσκει μυστικῶς τήν εὐχήν τοῦ Β΄. ἀντιφώνου.

Κύριε ὁ Θεός ἡμῶν, σῶσον τόν λαόν σου, καί εὐλόγησον τήν κληρονομίαν σου· τό πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τούς ἀγαπῶντας τήν εὐπρέπειαν τοῦ οἴκου σου· Σύ αὐτούς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει καί μή ἐγκαταλίπῃς ἡμᾶς τούς ἐλπίζοντας ἐπί σέ.

Εἶτα ὁ Διάκονος ἐκφωνεῖ τήν μικράν Συναπτήν.

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε ἐλέησον.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφωνεῖ·

Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν. τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς ἀναγινώσκει μυστικῶς τήν εὐχήν τοῦ γ΄. ἀντιφώνου.

Ὁ τάς κοινάς ταύτας καί συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καί δυσί καί τρισί, συμφωνοῦσιν ἐπί τῷ ὀνόματί σου, τάς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος. Αὐτός καί νῦν τῶν δούλων σου τά αἰτήματα πρός τό συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τήν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καί ἐν τῷ μέλλοντι ζωήν αἰώνιον χαριζόμενος.

Ψαλλομένου δέ ὑπό τῶν Ψαλτῶν τό Δόξα τοῦ Γ' Ἀντιφώνου ἤ τῶν Μακαρισμῶν, ὁ Ἱερεύς καί ὁ Διάκονος προσκυνοῦσιν τρίς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης. Εἶτα, ὁ Ἱερεύς λαμβάνει τό ἅγιον Εὐαγγέλιον καί τό δίδει εἰς τόν Διάκονον καί διελθόντες κύκλῳ τῆς ἁγίας Τραπέζης, ἐξέρχονται τῆς Βορείου πύλης καί ποιοῦσι τήν μικράν εἴσοδον. Ἐλθόντες δέ ἐν τῷ μέσῳ τοῦ ναοῦ, κλίνουσιν ἀμφότεροι τάς κεφαλάς, καί ὁ Διάκονος πραείᾳ τῇ φωνῇ λέγει·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δέ Ἱερεύς λέγει μυστικῶς τήν εὐχήν τῆς εἰσόδου·

Δέσποτα Κύριε, ὁ Θεός ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα καί στρατιάς ἀγγέλων καί ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σύν τῇ εἰσόδῳ ἡμῶν, εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καί συνδοξολογούντων τήν σήν ἀγαθότητα.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος λέγει·

Εὐλόγησον, Δέσποτα, τήν ἁγίαν εἴσοδον.

Ὁ Ἱερεύς εὐλογῶν διά τῆς δεξιᾶς αὐτοῦ χειρός λέγει·

Εὐλογημένη ἡ εἴσοδος τῶν ἁγίων σου, Κύριε, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Διάκονος προσφέρει εἰς τόν Ἱερέα τό ἅγιον Εὐαγγέλιον, καί ἀσπάζεται τοῦτο, καί ὁ Διάκονος ἀσπάζεται τήν δεξιάν τοῦ Ἱερέως, καί ὁ Διάκονος ὑψῶν τό ἅγιον Εὐαγγέλιον ἕως τοῦ μετώπου του, καί ποιῶν τό σημεῖον τοῦ Σταυροῦ ἐκφωνεῖ μελῳδικῷς·

Σοφία. Ὀρθοί.

Εἶτα ὁ Διάκονος καί ὁ Ἱερεύς διά τῆς ὡραίας πύλης, εἰσέρχονται εἰς τό ἱερόν βῆμα.

Οἱ δέ Χοροί ψάλλουν τό σύνηθες Εἰσοδικόν·

Δεῦτε προσκυνήσωμεν καί προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, [(ὁ ἀναστάς ἐκ νεκρῶν, ἐν Κυριακῇ) ἤ (ὁ ἐν ἁγίοις θαυμαστός ἐν Καθημερινῇ)], ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τυχούσης ὅμως Δεσποτικῆς ἤ Θεομητορικῆς ἑορτῆς, τότε ψάλλεται τό ἐνδιάτακτο Εἰσοδικόν τῆς ἑορτῆς.

Εἶτα οἱ Χοροί, ψάλλουν ἐναλλάξ τά Ἀπολυτίκια καί τό Κοντάκιον τῆς ἡμέρας, ὅπως ὁρίζει τό τυπικόν (Δίπτυχα) τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, καθώς καί τό Ἀ-

πολυτίκιον τοῦ ναοῦ, τό ὁποῖον ψάλλεται πρό τοῦ Κοντακίου. Τελουμένου δέ καί Μνημοσύνου ψάλλεται καί τό ἑξῆς Κοντάκιον τῶν Κεκοιμημένων, πρό τοῦ Ἀπολυτικίου τοῦ ναοῦ.

Μνήσθητι, Κύριε, ὡς ἀγαθός τ.. δούλ.. σου καί ὅσα ἐν βίῳ ἥμαρτ.. συγχώρησον· οὐδείς γάρ ἀναμάρτητος, εἰ μή σύ ὁ δυνάμενος καί τοῖς μεταστᾶσι δοῦναι τήν ἀνάπαυσιν.

Πληρωθέντων δέ τῶν Τροπαρίων ὁ Διάκονος λέγει·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς·

Ὅτι ἅγιος εἶ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί,

Ὁ Διάκονος λέγει·

Καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ψαλλομένου δέ τοῦ Τρισαγίου ὑπό τῶν Χορῶν, ὁ Ἱερεύς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, λέγει μυστικῶς τήν εὐχήν τοῦ Τρισαγίου.

Ὁ Θεός ὁ ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ ὑπό τῶν Σεραφείμ ἀνυμνούμενος, καί ὑπό τῶν Χερουβείμ δοξολογούμενος, καί ὑπό πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος· ὁ ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι παραγαγών τά σύμπαντα· ὁ κτίσας τόν ἄνθρωπον κατ᾽ εἰκόνα σήν καί ὁμοίωσιν, καί παντί σου χαρίσμασι κατακοσμήσας· ὁ διδούς αἰτοῦντι σοφίαν καί σύνεσιν, καί μή παρορῶν ἁμαρτάνοντα, ἀλλά θέμενος ἐπί σωτηρίᾳ μετάνοιαν· ὁ καταξιώσας ἡμᾶς, τούς ταπεινούς καί ἀναξίους δούλους σου, καί ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καί τήν ὀφειλομένην σοι προσκύνησιν καί δοξολογίαν προσάγειν· Αὐτός, Δέσποτα, πρόσδεξαι καί ἐκ στό-

ματος ἡμῶν τῶν ἁμαρτωλῶν τόν τρισάγιον ὕμνον, καί ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. Συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καί ἀκούσιον· ἁγίασον ἡμῶν τάς ψυχάς καί τά σώματα· καί δός ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τάς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καί πάντων τῶν ἁγίων, τῶν ἀπ᾿ αἰῶνός σοι εὐαρεστησάντων.

Εἴ ἐστι συλλείτουργον, ὁ Τρισάγιος ὕμνος, ψάλλεται δίς ὑπό τῶν Χορῶν, τό τρίτον λέγεται ἀπό τοῦ ἱεροῦ Βήματος, τό τέταρτον πάλιν ὑπό τοῦ δεξιοῦ Χοροῦ καί τό πέμπτον πάλιν ἐκ τοῦ ἱεροῦ Βήματος. ὡς καί τό· Δόξα, Καί νῦν, Ἅγιος Ἀθάνατος, πάλιν ὑπό τῶν Χορῶν.

Εἶτα ὁ Ἱερεύς καί ὁ Διάκονος λέγουσιν ἐναλλάξ μυστικῶς τόν Τρισάγιον ὕμνον, καί προσκυνοῦσιν τρίς, καί ποιοῦντες τό σημεῖον τοῦ Σταυροῦ ἔμπροσθεν τῆς ἁγίας Τραπέζης.

Εἴ δέ τύχοι Δεσποτική ἤ Θεομητορική ἑορτή, ἀντί τοῦ Ἅγιος ὁ Θεός ψάλλεται τό· Ὅσοι εἰς Χριστόν ἐβαπτίσθητε, καί ἐν τῇ Ὑψώσει τοῦ τιμίου Σταυροῦ τό· Τόν Σαυρόν σου προσκυνοῦμεν, Δέσποτα.

Εἶτα ὁ Διάκονος ἐκφωνεῖ·

Δύναμις.

Εἶτα ὁ Διάκονος λέγει πρός τόν Ἱερέα·

Κέλευσον, Δέσποτα.

Ὁ Ἱερεύς στρέφεται πρός τήν ἁγίαν Πρόθεσιν λέγων·

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα, τήν ἄνω καθέδραν.

Ὁ Ἱερεύς εὐλογῶν λέγει·

Εὐλογημένος εἶ, ὁ ἐπί θρόνου δόξης τῆς βασιλείας σου, ὁ καθήμενος ἐπί τῶν Χερουβείμ, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετά δέ τήν συμπλήρωσιν τοῦ Τρισαγίου ὕμνου, ὁ Διάκονος, βλέπων πρός τόν λαόν, καί τοῦ Ἀναγνώστου εἰπόντος τό Προκείμενον τοῦ Ἀποστόλου, ἐκφωνεῖ·

Πρόσχωμεν.

Ὁ Ἀναγνώστης λέγει τόν στίχον τοῦ προκειμένου·

Ὁ Διάκονος· Σοφία.

Ὁ Ἀναγνώστης λέγει τήν ἐπιγραφήν τοῦ ἀναγνώσματος·

Ὁ Διάκονος· Πρόσχωμεν.

Εἶτα ὁ Διάκονος λαβών τό θυμιατόν μετά θυμιάματος, λέγει πρός τόν Ἱερέα μυστικῶς.

Εὐλόγησον, Δέσποτα, τό θυμίαμα.

Ὁ Ἱερεύς εὐλογῶν αὐτῷ λέγων πραεία τῇ φωνῇ.

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Διάκονος θυμιᾷ, ἀθορύβως κύκλῳ τῆς ἁγίας Τραπέζης, τήν ἱεράν Πρόθεσιν, καί εἰσερχόμενος εἰς τήν Ὡραίαν Πύλην, θυμιᾷ τόν ἀρχιερατικόν θρόνον, τάς Δεσποτικάς εἰκόνας καί τόν λαόν, ἐπανελθών δέν ἐν τῷ ἁγίῳ Βήματι θυμιᾷ πάλιν τήν ἁγίαν Τράπεζαν, καί ὅλον τό Ἱερατεῖον, καί ἀποθέτει τό θυμιατόν, εἶτα λέγει·

Τοῦ Κυρίου δεηθῶμεν. Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς δέ, ἀναγινώσκει μυστικῶς τήν εὐχήν τοῦ Εὐαγγελίου·

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τό τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς, καί τούς τῆς διανοίας ἡμῶν ὀφθαλμούς διάνοιξον εἰς τήν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν

καί τόν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τάς σαρκικάς ἐπιθυμίας πάσας καταπατήσαντες, πνευματικήν πολιτείαν μετέλθωμεν, πάντα τά πρός εὐαρέστησιν τήν σήν καί φρονοῦντες καί πράττοντες. Σύ γάρ εἶ ὁ φωτισμός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, Χριστέ ὁ Θεός, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ, καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Διάκονος κλίνας τήν κεφαλήν λέγει τῷ Ἱερεῖ·

Εὐλόγησον, Δέσποτα τόν εὐαγγελιστήν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καί εὐαγγελιστοῦ (δεῖνος).

Ὁ Ἱερεύς σφραγίζων αὐτόν, λέγει μυστικῶς·

Ὁ Θεός, διά πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου ἀποστόλου καί εὐαγγελιστοῦ (δεῖνος), δῴη σοι ρῆμα τῷ εὐαγγελιζομένῳ δυνάμει πολλῇ, εἰς ἐκπλήρωσιν τοῦ εὐαγγελίου τοῦ ἀγαπητοῦ Υἱοῦ αὐτοῦ, Κυρίου δέ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος μυστικῶς·

Ἀμήν. Ἀμήν. Ἀμήν. Γένοιτό μοι [νῦν] κατά τό ρῆμά σου.

Εἶτα ὁ Διάκονος προσκυνήσας, λαμβάνει τό ἅγιον Εὐαγγέλιον ἐκ τῶν χειρῶν τοῦ Ἱερέως, καί ἀσπάζεται τήν δεξιάν αὐτοῦ χεῖρα λέγων·

Ἀπόστολε ἅγιε καί εὐαγγελιστά (δεῖνα) πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Εἶτα δέ, ὁ Διάκονος ἐξέρχεται ἐκ τῆς Βορείας πύλης, κρατῶντας τό ἅγιον Εὐαγγέλιον καί ἀνεβαίνει εἰς τόν ἄμβωνα ἤ στόν ἀρχιερατικόν θρόνον διά τήν ἀνάγνω-

σιν αὐτοῦ. Πληρωθέντος δέ τοῦ Ἀποστολικοῦ ἀναγνώσματος, ὁ Ἱερεύς ἐκφωνεῖ ἐκ τῆς Ὡραίας Πύλης λέγων·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι.

Ὁ Χορός·

Ἀλληλούϊα· Ἀλληλούϊα· Ἀλληλούϊα·

Ὁ Ἱερεύς·

Σοφία. Ὀρθοί. Ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Εὐλογῶν δέ τόν λαόν λέγει τό·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καί τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἐκ τοῦ κατά (δεῖνα) ἁγίου Εὐαγγελίου τό ἀνάγνωσμα.

Ὁ Ἱερεύς·

Πρόσχωμεν.

Εἶτα μετά τήν ἀνάγνωσιν τοῦ Εὐαγγελικοῦ ἀναγνώσματος ὁ Ἱερεύς εὐλογῶν τόν Διάκονον καί λέγει·

Εἰρήνη σοι τῷ εὐαγγελιζομένῳ.

Ὁ Χορός·

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ Ἱερεύς δέ, λαμβάνει τό ἅγιον Εὐαγγέλιον ἀπό τῶν χειρῶν τοῦ Διακόνου, καί ἀποθέτει αὐτό εἰς τήν ἁγίαν Τράπεζαν καί ὁ Διάκονος λέγει τήν μεγάλην ἐκτενῆ·

Εἴπομεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καί ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε παντοκράτορ, ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καί μοναχῶν, καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων Χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει (ἤ τῇ χώρᾳ, ἤ τῇ κώμῃ, ἤ τῇ νήσῳ) καί ἐνορία ταύτῃ, τῶν ἐνοριτῶν ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης (ἤ τῶν ἀδελφῶν τῆς ἱερᾶς Μονῆς ταύτης καί τῶν εὐλαβῶν προσκυνητῶν).

[Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καί ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἤ Μονῆς) ταύτης, καί ὑπέρ πάντων τῶν προαναπαυσαμένων πατέρων καί ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καί ἁπανταχοῦ ὀρθοδόξων.]

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καί καλλιεργούντων ἐν τῷ ἁγίῳ καί πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καί ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τό παρά σοῦ μέγα καί πλούσιον ἔλεος.

Ὁ Ἱερεύς λέγει μυστικῶς τήν εὐχήν τῆς ἐκτενοῦς ἱκεσίας·

Κύριε ὁ Θεός ἡμῶν, τήν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρά τῶν σῶν δούλων, καί ἐλέησον ἡμᾶς

κατά τό πλῆθος τοῦ ἐλέους σου· καί τούς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽ ἡμᾶς, καί ἐπί πάντα τόν λαόν σου, τόν ἀπεκδεχόμενον τό παρά σοῦ μέγα καί πλούσιον ἔλεος.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Εὔξασθε, οἱ κατηχούμενοι, τῷ Κυρίῳ. Οἱ πιστοί, ὑπέρ τῶν κατηχουμένων δεηθῶμεν. Ἵνα ὁ Κύριος αὐτούς ἐλεήσῃ. Κατηχήσῃ αὐτούς τόν λόγον τῆς ἀληθείας. Ἀποκαλύψῃ αὐτοῖς τό εὐαγγέλιον τῆς δικαιοσύνης. Ἑνώσῃ αὐτούς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καί ἀποστολικῇ Ἐκκλησίᾳ. Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καί διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι. Οἱ κατηχούμενοι, τάς κεφαλάς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Τῶν Κατηχουμένων λεγόντων ὑπό τοῦ Διακόνου, ὁ Ἱερεύς διαβάζει μυστικῶς τήν εὐχήν ὑπέρ τῶν Κατηχουμένων.

(Πρό τοῦ ἁπλωθῆναι τό Εἰλητόν)

**Κ**ύριε ὁ Θεός ἡμῶν, ὁ ἐν οὐρανοῖς κατοικῶν, καί ἐπιβλέπων ἐπί πάντα τά ἔργα σου, ἐπίβλεψον ἐπί τούς δούλους σου τούς κατηχουμένους, τούς ὑποκεκλικότας τούς ἑαυτῶν αὐχένας ἐνώπιόν σου, καί δός αὐτοῖς τόν ἐλαφρόν ζυγόν σου· ποίησον αὐτούς μέλη τίμια τῆς ἁγίας σου Ἐκκλησίας, καί καταξίωσον αὐτούς τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καί τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, εἰς ἐπίγνωσιν σοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Ὁ Ἱερεύς, ἐκφώνως·

Ἵνα καί αὐτοί σύν ἡμῖν δοξάζωσι τό πάντιμον καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα, ὁ Ἱερεύς λαβών τό ἅγιον Εὐαγγέλιον καί ποιεῖ δι᾽ αὐτοῦ τό σημεῖον τοῦ Σταυροῦ ἐπάνω εἰς τό Εἰλητόν, καί ἀνοίγει αὐτό ἐπάνω ἐπί τῆς ἁγίας Τραπέζης, ἐνῶ ἀποθέτει τό ἅγιον Εὐαγγέλιον εἰς τό ἐπάνω μέρος αὐτῆς.

Ὁ Διάκονος συνεχίζων·

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι, προέλθετε. Ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων. Ὅσοι πιστοί, ἔτι καί ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν. Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

Ὁ δέ Ἱερεύς μετά τό ἁπλωθῆναι τό Εἰλητόν, λέγει μυστικῶς τήν εὐχήν ὑπέρ τῶν Πιστῶν.

## ΕΥΧΗ ΤΩΝ ΠΙΣΤΩΝ Α΄

Σύ, Κύριε, κατέδειξας ἡμῖν τό μέγα τοῦτο τῆς σωτηρίας μυστήριον· σύ κατηξίωσας ἡμᾶς τούς ταπεινούς καί ἀναξίους δούλους σου, γενέσθαι λειτουργούς τοῦ ἁγίου σου θυσιαστηρίου· σύ ἱκάνωσον ἡμᾶς, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, εἰς τήν διακονίαν ταύτην· ἵνα, ἀκατακρίτως στάντες ἐνώπιον τῆς ἁγίας δόξης σου, προσάγωμέν σοι θυσίαν αἰνέσεως· σύ γάρ εἶ ὁ ἐνεργῶν τά πάντα ἐν πᾶσι. Δός, Κύριε, καί ὑπέρ τῶν ἡμετέρων ἁμαρτημάτων, καί τῶν τοῦ λαοῦ ἀγνοημάτων, δεκτήν γενέσθαι τήν θυσίαν ἡμῶν, καί εὐπρόσδεκτον ἐνώπιόν σου.

Ὁ Ἱερεύς, ἐκφώνως·

῞Οτι πρέπει σοι πᾶσα δόξα τιμή, καί προσκύνησις, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

῾Ο Διάκονος·

῎Ετι καί ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

᾿Αντιλαβοῦ, σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

῾Ο Χορός· Κύριε, ἐλέησον.

῾Ο ῾Ιερεύς λέγει μυστικῶς τήν δευτέραν εὐχήν ὑπέρ τῶν Πιστῶν.

## ΕΥΧΗ ΤΩΝ ΠΙΣΤΩΝ Β΄

῾Ο θεός, ὁ ἐπισκεψάμενος ἐν ἐλέει καί οἰκτιρμοῖς τήν ταπείνωσιν ἡμῶν· ὁ στήσας ἡμᾶς τούς ταπεινούς, καί ἁμαρτωλούς, καί ἀναξίους δούλους σου, κατενώπιον τῆς ἁγίας δόξης σου, λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ· σύ, ἐνίσχυσον ἡμᾶς, τῇ δυνάμει τοῦ ῾Αγίου σου Πνεύματος, εἰς τήν διακονίαν ταύτην καί δός ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν, εἰς τό ἐπικαλεῖσθαι τήν χάριν τοῦ ῾Αγίου σου Πνεύματος ἐπί τῶν μελλόντων προτίθεσθαι δώρων.

῾Ο ῾Ιερεύς, ἐκφώνως·

῞Οπως ὑπό τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοί δόξαν ἀναπέμπωμεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο Χορός· ᾿Αμήν.

Εἶτα δέ, ὁ Χορός ἄρχεται ψάλλειν τόν Χερουβικόν ὕμνον.

῾Ο Διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ δέ Ἱερεύς, κλινόμενος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης διαβάζει μυστικῶς, καί μετά πάσης εὐλαβείας τήν εὐχήν ᾀδομένου τοῦ Χερουβικοῦ·

**Ο**ὐδείς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καί ἡδοναῖς προσέρχεσθαι ἤ προσεγγίζειν ἤ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης. Τό γάρ διακονεῖν σοι μέγα καί φοβερόν, καί αὐταῖς ταῖς ἐπουρανίαις Δυνάμεσιν. Ἀλλ᾿ ὅμως, διά τήν ἄφατον καί ἀμέτρητόν σου φιλανθρωπίαν, ἀτρέπτως καί ἀναλλοιώτως γέγονας ἄνθρωπος καί ἀρχιερεύς ἡμῶν ἐχρημάτισας, καί τῆς λειτουργικῆς ταύτης καί ἀναιμάκτου θυσίας τήν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς δεσπότης τῶν ἁπάντων. Σύ γάρ μόνος, Κύριε ὁ Θεός ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καί τῶν ἐπιγείων, ὁ ἐπί θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν Σεραφείμ Κύριος, καί Βασιλεύς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος, καί ἐν ἁγίοις ἀναπαυόμενος. Σέ τοίνυν δυσωπῶ τόν μόνον ἀγαθόν καί εὐήκοον· ἐπίβλεψον ἐπ᾿ ἐμέ τόν ἁμαρτωλόν καί ἀχρεῖον δοῦλόν σου, καί καθάρισόν μου τήν ψυχήν καί τήν καρδίαν ἀπό συνειδήσεως πονηρᾶς· καί ἱκάνωσόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος, ἐνδεδυμένον τήν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καί ἱερουργῆσαι τό ἅγιον καί ἄχραντόν σου σῶμα καί τό τίμιον αἷμα. Σοί γάρ προσέρχομαι, κλίνας τόν ἐμαυτοῦ αὐχένα, καί δέομαί σου· Μή ἀποστρέψῃς τό πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, μηδέ ἀποδοκιμάσῃς με ἐκ παίδων σου, ἀλλ᾿ ἀξίωσον προσενεχθῆναί σοι ὑπ᾿ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καί ἀναξίου δούλου σου τά δῶρα ταῦτα. Σύ γάρ εἶ ὁ προσφέρων καί προσφερόμενος, καί προσδεχόμενος, καί διαδιδόμενος, Χριστέ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀ-

γαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Ἱερεύς λέγει μυστικῶς·

Οἱ τά Χερουβίμ μυστικῶς εἰκονίζοντες, καί τῇ ζωοποιῷ Τριάδι τόν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τήν βιοτικήν ἀποθώμεθα μέριμνα.

Ὁ Διάκονος συμπληρῶν·

Ὡς τόν βασιλέα τῶν ὅλων ὑποδεξόμενοι, ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

Εἶτα ὁ Ἱερεύς λαβῶν τό θυμιατόν, καί ἀφοῦ εὐλογήσει τό θυμίαμα θυμιᾷ κύκλωθεν τῆς ἁγίας Τραπέζης, λέγων καθ' ἑαυτόν τά ἑπόμενα Τροπάρια·

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δέ μετά ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δέ μετά Λῃστοῦ, καί ἐν Θρόνω ὑπῆρχες, Χριστέ, μετά Πατρός καί Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα Πατρί.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καί παστάδος πάσης Βασιλικῆς, ἀναδέδεικται λαμπρότερος Χριστέ, ὁ Τάφος σου, ἡ πηγή τῆς ἡμῶν ἀναστάσεως.

Καί νῦν. Θεοτοκίον.

Τό τοῦ Ὑψίστου ἡγιασμένον Θεῖον σκήνωμα, Χαῖρε, διά σοῦ γάρ δέδοται ἡ χαρά Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σύν ἐν Γυναξίν ὑπάρχεις, Πανάμωμε Δέσποινα.

Ὕστερον δέ εἰσέρχεται εἰς τήν Ὡραίαν Πύλην καί θυμιᾷ τόν ἀρχιερατικόν θρόνον, τάς Δεσποτικάς εἰκόνας, καί τόν λαόν, λέγων δέ τόν Ν' Ψαλμόν μέχρι καί τοῦ στίχου,

῾Ο Θεός οὐκ ἐξουδενώσει. Εἰσελθών δέ πάλιν εἰς τό ἅγιον βῆμα θυμιᾷ καί πάλιν τήν ἁγίαν Τράπεζαν, τήν ἁγίαν πρόθεσιν καί ὅλον τό ἱερατεῖον, ἀποθέτει τό θυμιατόν εἰς τήν θέσιν του, τότε ὁ ῾Ιερεύς καί ὁ Διάκονος ἵστανται ἔμπροσθεν τῆς ἁγίας τραπέζης λέγοντες ἀμφότεροι τά ἑπόμενα Τροπάρια·

῞Ημαρτον εἰς σέ Σωτήρ, ὡς ὁ Ἄσωτος υἱός, δέξαι με Πάτερ μετανοοῦντα, καί ἐλέησόν με ὁ Θεός.

Κάζω σοι Χριστέ Σωτήρ, τοῦ Τελώνου τήν φωνήν. ῾Ιλάσθητί μοι, ὥσπερ ἐκείνῳ καί ἐλέησόν με ὁ Θεός.

Τήν ταχεῖαν σου σκέπην καί τήν βοήθειαν καί τό ἔλεος δεῖξον ἐπί τῷ δούλῳ σου, καί τά κύματα, Ἁγνή, σύ καταπράϋνον τῶν ματαίων λογισμῶν, καί τήν πεσοῦσάν μου ψυχήν ἀνάστησον, Θεοτόκε· οἶδα γάρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καί βούλεσαι.

Καί προσκυνοῦντες ἀμφότεροι ἐκ γ΄. τήν ἁγίαν Τράπεζαν ἀσπάζονται τό ἅγιον Ἀντιμήνσιον, στρέφοντες πρός τόν λαόν καί κλίναντες τήν κεφαλήν των ἀπέρχονται εἰς τήν ἁγίαν Πρόθεσιν, ὁ δέ ἱερεύς λέγει τά ἑπόμενα τροπάρια.

῾Ως ὁ περιπεσών εἰς τούς λῃστάς, καί τετραυματισμένος, οὕτω κἀγώ περιέπεσα ἐξ ἐμῶν ἁμαρτιῶν, καί τετραυματισμένη ὑπάρχει μου ἡ ψυχή· πρός τίνα καταφύγω ὁ ὑπεύθυνος ἐγώ, εἰμή πρός σέ τόν εὔσπλαγχνον, τῶν ψυχῶν τόν ἰατρόν; ἐπίχεε ἐπ' ἐμέ, ὁ Θεός, τό μέγα σου ἔλεος.

῾Ως ὁ Ἄσωτος υἱός, ἦλθον κἀγώ Οἰκτίρμον· δέξαι με προσπίπτοντα, ὡς ἕνα τῶν μισθίων σου, ὁ Θεός, καί ἐλέησόν με.

Σε τόν ἀναβαλλόμενον, τό φῶς ὥσπερ ἱμάτιον, καθελών Ἰωσήφ ἀπό τοῦ ξύλου, σύν Νικοδήμῳ, καί θεωρήσας νεκρόν, γυμνόν, ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβών, ὀδυρόμενος ἔλεγεν· Οἴμοι, γλυκύτατε Ἰησοῦ! ὅν πρό μικροῦ ὁ ἥλιος ἐν Σταυρῷ κρεμάμενον θεασάμενος ζόφον περιεβάλλετο, καί ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο, καί διερρήγνυτο Ναοῦ τό καταπέτασμα· ἀλλ' ἰδού νῦν βλέπω σε, δι' ἐμέ ἑκουσίως ὑπελθόντα θάνατον· πῶς σέ κηδεύσω Θεέ μου; ἤ πῶς σινδόσιν είλήσω; ποίαις χερσί δέ προσψαύσω τό σόν ἀκήρατον Σῶμα; ἤ ποῖα ᾄσματα μέλψω τῇ σῇ ἐξόδῳ Οἰκτίρμον; Μεγαλύνω τά Πάθη σου, ὑμνολογῶ καί τήν Ταφήν σου, σύν τῇ Ἀναστάσει, κραυγάζων· Κύριε δόξα σοι.

Καί μετά τό τέλος αὐτῶν λέγουσιν·

Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με. (ἐκ γ΄.)

Εἶτα ἀσπάζονται τά ἅγια λέγοντες·

Ἅγιος ὁ Θεός ὁ πατήρ ὁ Ἄναρχος, Ἅγιος ἰσχυρός ὁ Υἱός ὁ Συνάναρχος, Ἅγιος ἀθάνατος τό Παράκλητον Πνεῦμα, τό ἐκ Πατρός ἐκπορευόμενον καί ἐν Υἱῷ ἀναπαυόμενον. Τριάς Ἁγία δόξα σοι.

Τῇ Ἁγίᾳ καί Μεγάλη Πέμπτη ὁ Ἱερεύς ἀντί τοῦ «Οἱ τά Χερουβείμ», λέγει τό Τροπάριον, τό ὁποῖον ψάλλει καί ὁ Χορός εἰς ἦχον πλ. β'., ἀντί τοῦ Χερουβικοῦ.

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱέ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μή γάρ τοῖς ἐχθροῖς σου τό μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας·

Ὁ Διάκονος·

ἀλλ᾽ ὡς ὁ Λῃστής ὁμολογῷ σοι· Μνήσθητί μου Κύ-ριε, ἐν τῇ Βασιλείᾳ σου.

Τῷ δέ Ἁγίῳ καί Μεγάλῳ Σαββάτῳ, τό Τροπάριον, τό ὁποῖον ψάλλει καί ὁ Χορός, ἀντί τοῦ Χερουβικοῦ εἰς ἦχον πλ. α΄.

Ὁ Ἱερεύς·

Σιγησάτω πᾶσα σάρξ βροτεία, καί στήτω μετά φόβου καί τρόμου, καί μηδέν γήϊνον ἐν ἑαυτῇ, λογιζέσθω· ὁ γάρ Βασιλεύς τῶν βασιλευόντων, καί Κύριος τῶν κυριευόντων, προσέρχεται σφαγιασθῆναι, καί δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς· προηγοῦνται δέ τούτου οἱ Χοροί τῶν Ἀγγέλων, μετά πάσης Ἀρχῆς καί ἐξουσίας,

Ὁ Διάκονος·

τά πολυόμματα Χερουβείμ, καί τά ἑξαπτέρυγα Σεραφείμ, τάς ὄψεις καλύπτοτα, καί βοῶντα τόν ὕμνον· Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

Εἶτα ὁ Ἱερεύς λαβῶν τό θυμιατόν, καί ἀφοῦ εὐλογήσει τό θυμίαμα θυμιᾷ κύκλωθεν τῆς ἁγίας Τραπέζης λέγων, εἰ μέν ἐστι Κυριακή, τό Ἀνάστασιν Χριστοῦ θεασάμενοι, εἰ δέ οὐκ ἐστι Κυριακή, τό Δεῦτε προσκυνήσωμεν τρίς. Ὕστερον δέ εἰσέρχεται εἰς τήν Ὡραίαν Πύλην καί θυμιᾷ τόν ἀρχιερατικόν θρόνον, τάς Δεσποτικάς εἰκόνας, καί τόν λαόν, λέγων δέ τόν Ν' Ψαλμόν μέχρι τοῦ στίχου, Ὁ Θεός οὐκ ἐξουδενώσει. Εἰσελθών δέ πάλιν εἰς τό ἅγιον βῆμα ἀποθέτει τό θυμιατόν, καί προσκυνήσαντες τρίς μετά τοῦ Διακόνου ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, ἀσπάζονται τό ἱερόν ἀντιμήνσιον. Εἶτα ὑποκλίνονται μαζί πρός τόν λαόν αἰτοῦντες συγχώρησιν, καί ἀπερχόμενοι εἰς τήν πρόθεσιν λέγοντες τό· Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με.

Εἶτα ὁ Διάκονος λέγει·

Ἔπαρον, Δέσποτα.

Ὁ Ἱερεύς, ἄρας τόν Ἀέρα καί τόν θέτει ἐν τοῖς ὤμοις τοῦ Διακόνου, λέγων·

Εν εἰρήνῃ ἐπάρατε τάς χεῖρας ὑμῶν εἰς τά ἅγια καί εὐλογεῖτε τόν Κύριον.

Εἶτα λαβών τό ἅγιον Δισκάριον καλυμμένον, καί δίδει αὐτό μετά προσοχῆς τῷ Διακόνῳ. Αὐτός δέ λαμβάνει τό ἅγιον Ποτήριον καί λέγει·

Ἀνέβη ὁ Θεός ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος.

Ἐξερχόμενοι δέ τῆς βορείας πύλης ποιοῦσιν τήν μεγάλην εἴσοδον, καί ὁ λέγει·

Πάντων ὑμῶν, καί πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὅταν δέ ἔλθουν εἰς τήν Ὡραίαν Πύλην, ὁ Διάκονος εἰσέρχεται εἰς τόν ἱερόν βῆμα. Ὁ δέ Ἱερεύς στάς εἰς τήν Ὡραίαν Πύλην, κρατῶντας τό ἅγιον Ποτήριον, καί βλέπωντας πρός τόν λαόν μνημονεύει ὡς ἔχει ἐπικρατήσει κατά συνήθειαν·

Τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος) καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος. Τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους καί πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ. Τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ. Τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει (ἤ τῇ χώρᾳ, ἤ τῇ κώμῃ, ἤ τῇ νήσῳ) ταύτῃ. Τῶν ἐνοριτῶν, Ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου καί πάντων ἡμῶν τῶν προσελθόντων εἰς τήν θείαν μυσταγωγίαν ταύτην.

Τῶν μακαρίων καί ἀοιδίμων κτιτόρων, ἀνακαινιστῶν καί ἀφιερωτῶν τοῦ ἱεροῦ Ναοῦ τούτου, τῶν ὑπέρ πίστεως καί πατρίδος ἀγωνισαμένων καί πεσόντων καί

πάντων τῶν ἐπ᾿ ἐλπίδι ἀναστάσεως, ζωῆς αἰωνίου, κεκοιμημένων πατέρων καί ἀδελφῶν ἡμῶν, μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα μετά τήν μνημόνευσιν, ὁ Ἱερεύς εἰσέρχεται εἰς τό ἅγιον βῆμα, καί λέγει πρός αὐτόν ὁ Διάκονος·

Τῆς Ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Καί ὁ Ἱερεύς πρός τόν Διάκονον.

Τῆς Ἱεροδιακονίας σου μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Καί ὁ μέν Ἱερεύς, ἀποθέτει τό ἅγιον Ποτήριον, ἐπάνω εἰς τό Ἀντιμήνσιον εἰς τό δεξιόν μέρος αὐτοῦ, λαβῶν δέ καί τό ἅγιον Δισκάριον ἀπό τάς χεῖρας τοῦ Διακόνου, ἀποθέτει καί αὐτό ἐπάνω εἰς τό Ἀντιμήνσιον, καί εἰς τό ἀριστερόν μέρος αὐτοῦ. Αἴρει δέ τά καλύμματα ἀπό αὐτά, καί λέγει συγχρόνως τά ἑξῆς Τροπάρια.

Ὁ εὐσχήμων Ἰωσήφ, ἀπό τοῦ ξύλου καθελών τό ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καί ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Ταῖς Μυροφόροις Γυναιξί, παρά τό μνῆμα ἐπιστάς, ὁ Ἄγγελος ἐβόα. Τά μῦρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια, Χριστός δέ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Ὅτε κατῆλθες πρός τόν θάνατον ἡ ζωή ἡ ἀθάνατος, τότε τόν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δέ καί τούς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ ὁ Θεός ἡμῶν, δόξα σοι.

Εἶτα λαβών τόν ᾿Αέρα ἀπό τούς ὤμους τοῦ Διακόνου, σκεπάζει τά ῞Αγια μέ αὐτόν, καί ἀσπάζονται ὁμοῦ. Εἶτα λέγει ὁ Διάκονος τῷ ῾Ιερεῖ.

᾿Αγάθυνον, Δέσποτα.

῾Ο δέ ῾Ιερεύς, λαβών τό θυμιατόν, θυμιᾷ τά ῞Αγια καί λέγει τόν τελευταῖον στίχον τοῦ Ψαλμοῦ Ν΄.

Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν σου μόσχους (γ΄).

῾Ο ῾Ιερεύς ἀφοῦ ἀποθέσει τό θυμιατόν, λέγει τῷ Διακόνῳ.

Μνήσθητί μου, ἀδελφέ καί συλλειτουργέ.

῾Ο Διάκονος·

Μνησθείη Κύριος ὁ Θεός τῆς ῾Ιερωσύνης σου ἐν τῇ Βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

῾Ο δέ Διάκονος, ὑποκλίνας τήν κεφαλήν λέγει τῷ ῾Ιερεῖ·

Εὖξαι ὑπέρ ἐμοῦ, Δέσποτα ἅγιε.

῾Ο ῾Ιερεύς·

Πνεῦμα ῞Αγιον ἅγιον ἐπελεύσεται ἐπί σέ, καί δύναμις ῾Υψίστου ἐπισκιάσει σοι.

῾Ο Διάκονος·

Αὐτό τό Πνεῦμα συλλειτουργήσει ἡμῖν πάσας τάς ἡμέρας τῆς ζωῆς ἡμῶν.

῾Ο Διάκονος πάλιν·

Μνήσθητί μου, Δέσποτα ἅγιε.

῾Ο ῾Ιερεύς·

Τῆς διακονίας σου μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα ὁ Διάκονος, ἀφοῦ εἰπεῖν τό ᾿Αμήν, ἀσπάζεται τήν δεξιάν τοῦ ῾Ιερέως καί λέγει τά πληρωτικά.

Ὁ Χορός, μεθ᾽ ἑκάστην Αἴτησιν λέγει·

Κύριε, ἐλέησον.

Πληρώσωμεν τήν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπέρ τῶν προτεθέντων, τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου καί τῶν μετά πίστεως, εὐλαβείας καί φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ Χορός, μεθ᾽ ἑκάστην Αἴτησιν·

Παράσχου, Κύριε.

Σημείωσαι ὅτι, εἰς τάς παραμονάς, τῶν Χριστουγέννων, καί τῶν Φώτων, καθώς καί ἐν τῇ Μ. Πέμπτῃ, καί τῷ Μ. Σαββάτῳ, ἐν ᾧ τελεῖται ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, ἀντί "Τήν ἡμέραν πᾶσαν τελείαν, κ.τ.λ." λέγε· "Τήν ἑσπέραν πᾶσαν τελείαν κ.λ.π.". Ἐπειδή τότε δέν εἶναι τοῦ Ὄρθρου ἡ ἀκολουθία, ἀλλά τοῦ Ἑσπερινοῦ· καί πρός γνῶσιν τῶν ἱερέων καί τῶν ἱεροδιακόνων.

Ἄγγελον εἰρήνης, πιστόν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καί ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τά καλά καί συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καί εἰρήνην τῷ κόσμῳ παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τόν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καί μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανά τά τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καί καλήν ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Εἶτα ὁ Ἱερεύς μετά τήν ἀπόθεσιν τῶν τιμίων Δώρων εἰς τήν ἁγίαν Τράπεζαν διαβάζει μυστικῶς τήν εὐχήν τῆς προσκομιδῆς.

**Κ**ύριε ὁ Θεός ἡμῶν, ὁ κτίσας ἡμᾶς καί ἀγαγών εἰς τήν ζωήν ταύτην, ὁ ὑποδείξας ἡμῖν ὁδούς εἰς σωτηρίαν, ὁ χαρισάμενος ἡμῖν οὐρανίων μυστηρίων ἀποκάλυψιν· σύ εἶ ὁ θέμενος ἡμᾶς εἰς τήν διακονίαν ταύτην ἐν τῇ δυνάμει τοῦ Πνεύματός σου τοῦ Ἁγίου. Εὐδόκησον, δή, Κύριε, τοῦ γενέσθαι ἡμᾶς διακόνους τῆς καινῆς σου Διαθήκης, λειτουργούς τῶν ἁγίων σου μυστηρίων· πρόσδεξαι ἡμᾶς προσεγγίζοντας τῷ ἁγίῳ σου θυσιαστηρίῳ, κατά τό πλῆθος τοῦ ἐλέους σου· ἵνα γενώμεθα ἄξιοι τοῦ προσφέρειν σοι τήν λογικήν ταύτην καί ἀναίμακτον θυσίαν, ὑπέρ τῶν ἡμετέρων ἁμαρτημάτων, καί τῶν τοῦ λαοῦ ἀγνοημάτων· ἥν προσδεξάμενος εἰς τό ἅγιον, καί ὑπερουράνιον, καί νοερόν σου θυσιαστήριον εἰς ὀσμήν εὐωδίας, ἀντικατάπεμψον ἡμῖν τήν χάριν τοῦ Ἁγίου σου Πνεύματος. Ἐπίβλεψον ἐφ᾽ ἡμᾶς, ὁ Θεός, καί ἔπιδε

ἐπί τήν λατρείαν ἡμῶν ταύτην, καί πρόσδεξαι αὐτήν, ὡς προσεδέξω Ἄβελ τά δῶρα, Νῶε τάς θυσίας, Ἀβραάμ τάς ὁλοκαρπώσεις, Μωσέως καί Ἀαρών τάς ἱερωσύνας, Σαμουήλ τάς εἰρηνικάς. Ὡς προσεδέξω ἐκ τῶν ἁγίων σου Ἀποστόλων τήν ἀληθινήν ταύτην λατρείαν, οὕτω καί ἐκ τῶν χειρῶν ἡμῶν τῶν ἁμαρτωλῶν πρόσδεξαι τά Δῶρα ταῦτα, ἐν τῇ χρηστότητί σου, Κύριε· ἵνα, καταξιωθέντες λειτουργεῖν ἀμέμπτως τῷ ἁγίῳ σου θυσιαστηρίῳ, εὕρωμεν τόν μισθόν τῶν πιστῶν καί φρονίμων οἰκονόμων, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ τῆς ἀνταποδόσεώς σου τῆς δικαίας.

Ὁ Ἱερεύς, ἐκφώνως·

Διά τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, εὐλογῶν τόν λαόν λέγει·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καί τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.

Ὁ Χορός·

Πατέρα, Υἱόν καί Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καί ἀχώριστον.

Ὁ Ἱερεύς προσκυνεῖ τρίς, ἀσπάζεται δέ τά Ἅγια καί λέγει μυστικῶς.

Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καί καταφυγή μου, καί ρύστης μου.

Ἐάν δέ τελεῖται συλλείτουργον, γίνεται μεταξύ τῶν Ἱερέων ὁ ἀσπασμός, ἀρχομένου ἀπό ἀριστερά πρός τά

δεξιά, καί τέλος τήν δεξιάν χεῖρα τοῦ ἑτέρου, λέγοντες διαλογικῶς ὁ εἷς· Ὁ Χριστός ἐν τῷ μέσῳ ἡμῶν· καί ὁ ἕτερος· Καί ἔστι καί ἔσται.

Ὁ Διάκονος·

Τάς θύρας, τάς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.

Ὁ Ἱερεύς, ἄρας τόν Ἀέρα καί ὑψῶν, ἀνασείει αὐτόν ἀνοικτόν ἐπάνω τῶν τιμίων Δώρων· εἶτα, διπλώνει αὐτόν καί ἀσπασάμενος, θέτει αὐτόν μετά τῶν ἄλλων καλυμμάτων.

Ὁ Λαός λέγει· Πιστεύω εἰς ἕνα Θεόν.

Ὁ Διάκονος·

Στῶμεν καλῶς· στῶμεν μετά φόβου· πρόσχωμεν. Τήν ἁγίαν ἀναφοράν ἐν εἰρήνῃ προσφέρειν.

Ὁ Χορός·

Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως.

Ὁ Ἱερεύς, λαβών τόν διπλωμένον Ἀέρα διά τῆς δεξιᾶς αὐτοῦ χειρός, ριπίζει τά ἅγια καί ἐκφωνεῖ·

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καί ἡ ἀγάπη τοῦ Θεοῦ καί Πατρός, καί ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος.

Καί εὐλογῶν τόν λαόν λέγει·

εἴη μετά πάντων ὑμῶν.

Ὁ Χορός·

Καί μετά τοῦ πνεύματός σου.

Ὑψῶν δέ τάς χεῖρας ὁ Ἱερεύς λέγει·

Ἄνω σχῶμεν τάς καρδίας.

Ὁ Χορός·

Ἔχομεν πρός τόν Κύριον.

Εἶτα ὑποκλίνεται πρός τήν εἰκόνα τοῦ Χριστοῦ καί λέγει·

Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Χορός·

Ἄξιον, καί δίκαιον ἐστί.

Εἶτα, ὁ Ἱερεύς ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, διαβάζει μυστικῶς τήν εὐχήν τῆς Ἀναφορᾶς.

Ὁ ὤν, Δέσποτα, Κύριε, Θεέ, πάτερ, παντοκράτορ, προσκυνητέ, ἄξιον ὡς ἀληθῶς, καί δίκαιον καί πρέπον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, σέ αἰνεῖν, σέ ὑμνεῖν, σέ εὐλογεῖν, σέ προσκυνεῖν, σοί εὐχαριστεῖν, σέ δοξάζειν τόν μόνον ὄντως ὄντα Θεόν· καί σοί προσφέρειν ἐν καρδίᾳ συντετριμμένῃ, καί πνεύματι ταπεινώσεως τήν λογικήν ταύτην λατρείαν ἡμῶν· ὅτι σύ εἶ ὁ χαρισάμενος ἡμῖν τήν ἐπίγνωσιν τῆς σῆς ἀληθείας. Καί τίς ἱκανός λαλῆσαι τάς δυναστείας σου; ἀκουστάς ποιῆσαι πάσας τάς αἰνέσεις σου; ἤ διηγήσασθαι πάντα τά θαυμάσιά σου ἐν παντί καιρῷ; Δέσποτα τῶν ἁπάντων, Κύριε οὐρανοῦ καί γῆς, καί πάσης κτίσεως, ὁρωμένης τε καί οὐχ ὁρωμένης, ὁ καθήμενος ἐπί θρόνου δόξης, καί ἐπιβλέπων ἀβύσσους, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀπερίγραπτε, ἀναλλοίωτε, ὁ Πατήρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος, τῆς ἐλπίδος ἡμῶν· ὅς ἐστιν εἰκών τῆς σῆς ἀγαθότητος, σφραγίς ἰσότυπος, ἐν ἑαυτῷ δεικνύς Σέ τόν Πατέρα, Λόγος ζῶν, Θεός, ἀληθινός, ἡ πρό αἰώνων σοφία, ζωή, ἁγιασμός, δύναμις, τό φῶς τό ἀληθινόν· παρ᾽ οὗ τό Πνεῦμα τό Ἅγιον ἐξεφάνη, τό τῆς ἀληθείας Πνεῦμα, τό τῆς υἱοθεσίας χάρισμα, ὁ ἀρραβών τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχή τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιός δύναμις, ἡ πηγή τοῦ ἁγιασμοῦ· παρ᾽ οὗ πᾶσα κτίσις λογική τε καί νοερά, δυναμουμένη, σοί λατρεύει, καί σοί τήν ἀΐδιον ἀναπέμπει δοξολογίαν, ὅτι τά σύμπαντα δοῦλά σά. Σέ γάρ αἰνοῦσιν Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες. Ἀρχαί, Ἐξουσίαι, Δυνάμεις, καί τά πολυόμματα Χερουβείμ. Σοί παρίστανται κύκλῳ τά Σεραφείμ, ἕξ πτέρυγες τῷ ἑνί, καί ἕξ πτέρυγες τῷ ἑνί· καί ταῖς μέν δυσί κατακαλύπτουσι τά πρόσωπα ἑαυτῶν, ταῖς δέ δυσί τούς πόδας· καί ταῖς δυσί πετόμενα, κέκραγεν ἕτερον πρός τό ἕτερον, ἀκαταπαύστοις στόμασιν, ἀσιγήτοις δοξολογίαις,

Ἐκφώνως·

Τόν ἐπινίκιον ὕμνον ᾄδοντα, βοῶντα, κεκραγότα, καί λέγοντα·

Τούτου δέ λέγοντος, ὁ Διάκονος λαβών τόν ἀστερίσκον ἀπό τό ἅγιον Δισκάριον, ποιῶν δέ τό σημεῖον τοῦ Σταυροῦ ἐπάνω αὐτοῦ, καί σπογγίσας καλῶς θέτει αὐτόν εἰς τά καλύμματα.

Ὁ Χορός·

Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανός καί ἡ γῆ τῆς δόξης σου. Ὡσαννά ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννά ἐν τοῖς ὑψίστοις.

Ὁ Ἱερεύς κλινόμενος λέγει μυστικῶς τήν εὐχήν·

Μετά τούτων τῶν μακαρίων Δυνάμεων, Δέσποτα φιλάνθρωπε, καί ἡμεῖς οἱ ἁμαρτωλοί βοῶμεν καί λέγομεν· Ἅγιος εἶ, ὡς ἀληθῶς, καί πανάγιος, καί οὐκ ἔστι μέτρον τῇ μεγαλοπρεπείᾳ τῆς ἁγιωσύνης σου, καί ὅσιος ἐν πᾶσι τοῖς ἔργοις σου, ὅτι ἐν δικαιοσύνῃ καί κρίσει ἀληθινῇ πάντα ἐπήγαγες ἡμῖν· πλάσας γάρ τόν ἄνθρωπον, χοῦν λαβών ἀπό τῆς γῆς, καί εἰκόνι τῇ σῇ ὁ Θεός, τιμήσας, τέθεικας αὐτόν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς, καί ἀπόλαυσιν αἰωνίων ἀγαθῶν, ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου, ἐπαγγειλάμενος αὐτῷ· ἀλλά παρακούσαντα σοῦ τοῦ ἀληθινοῦ Θεοῦ, τοῦ κτίσαντος αὐτόν, καί τῇ ἀπάτῃ τοῦ ὄφεως ὑπαχθέντα, νεκρωθέντα τε τοῖς οἰκείοις αὐτοῦ παραπτώμασιν, ἐξώρισας αὐτόν ἐν τῇ δικαιοκρισίᾳ σου, ὁ Θεός, ἐκ τοῦ παραδείσου εἰς τόν κόσμον τοῦτον, καί ἀπέστρεψας εἰς τήν γῆν, ἐξ ἧς ἐλήφθη, οἰκονομῶν αὐτῷ τήν ἐκ παλιγγενεσίας σωτηρίαν, τήν ἐν αὐτῳ τῷ Χριστῷ σου. Οὐ γάρ ἀπεστράφης τό πλάσμα σου εἰς τέλος, ὅ ἐποίησας, ἀγαθέ, οὐδέ ἐπελάθου ἔργου χειρῶν σου, ἀλλ᾽ ἐπεσκέψω πολυτρόπως, διά σπλάγχνα ἐλέους σου. Προφήτας ἐξαπέστειλας· ἐποίησας δυνάμεις διά τῶν ἁγίων σου, τῶν καθ᾽ ἑκάστην γενεάν εὐαρεστησάντων σοι· ἐλάλησας ἡμῖν διά στόματος τῶν δούλων σου τῶν προφητῶν, προκαταγγέλλων ἡμῖν τήν μέλλουσαν ἔσεσθαι σωτηρίαν· νόμον ἔδωκας εἰς βοήθειαν· Ἀγγέλους ἐπέστησας φύλακας. Ὅτε δέ ἦλθε τό πλήρωμα τῶν καιρῶν, ἐλάλησας ἡμῖν ἐν αὐτῷ τῷ Υἱῷ σου, δι᾽ οὗ καί τούς αἰῶνας ἐποίησας· ὅς, ὤν ἀπαύγασμα τῆς δόξης σου, καί χαρακτήρ τῆς ὑποστάσεώς σου, φέρων τε τά πάντα τῷ ρήματι τῆς δυνάμεως αὐτοῦ, ούχ ἁρπαγμόν ἡγήσατο, τό εἶναι ἴσα σοί τῷ Θεῷ καί Πατρί· ἀλλά, Θεός ὤν προαιώνιος, ἐπί τῆς γῆς ὤφθη, καί τοῖς ἀνθρώποις συναναστράφη· καί ἐκ Παρθένου ἁγίας σαρκωθείς, ἐκένωσεν ἑαυτόν, μορφήν δούλου

λαβών, σύμμορφος γενόμενος τῷ σώματι τῆς ταπεινώσεως ἡμῶν, ἵνα ἡμᾶς συμμόρφους ποιήσῃ τῆς εἰκόνος τῆς δόξης αὐτοῦ. Ἐπειδή γάρ δι᾽ ἀνθρώπου ἡ ἁμαρτία εἰσῆλθεν εἰς τόν κόσμον, καί διά τῆς ἁμαρτίας ὁ θάνατος, ηὐδόκησεν ὁ μονογενής σου Υἱός, ὁ ὤν ἐν τοῖς κόλποις σοῦ τοῦ Θεοῦ καί Πατρός, γενόμενος ἐκ γυναικός, τῆς ἁγίας Θεοτόκου καί ἀειπαρθένου Μαρίας, γενόμενος ὑπό νόμον, κατακρῖναι τήν ἁμαρτίαν ἐν τῇ σαρκί αὐτοῦ, ἵνα οἱ ἐν τῷ Ἀδάμ ἀποθνήσκοντες, ζωοποιηθῶσιν ἐν αὐτῷ τῷ Χριστῷ σου· καί ἐμπολιτευσάμενος τῷ κόσμῳ τούτῳ, δούς προστάγματα σωτηρίας, ἀποστήσας ἡμᾶς τῆς πλάνης τῶν εἰδώλων, προσήγαγε τῇ ἐπιγνώσει σοῦ τοῦ ἀληθινοῦ Θεοῦ καί Πατρός, κτησάμενος ἡμᾶς ἑαυτῷ λαόν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον· καί καθαρίσας ἐν ὕδατι, καί ἁγιάσας τῷ Πνεύματι τῷ Ἁγίῳ, ἔδωκεν ἑαυτόν ἀντάλλαγμα τῷ θανάτῳ, ἐν ᾧ κατειχόμεθα, πεπραμένοι ὑπό τήν ἁμαρτίαν· καί κατελθών διά τοῦ σταυροῦ εἰς τόν ᾅδην, ἵνα πληρώσῃ ἑαυτοῦ τά πάντα, ἔλυσε τάς ὀδύνας τοῦ θανάτου· καί ἀναστάς τῇ τρίτῃ ἡμέρᾳ, καί ὁδοποιήσας πάσῃ σαρκί τήν ἐκ νεκρῶν ἀνάστασιν, καθότι οὐκ ἦν δυνατόν κρατεῖσθαι ὑπό τῆς φθορᾶς τόν ἀρχηγόν τῆς ζωῆς, ἐγένετο ἀπαρχή τῶν κεκοιμημένων, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα ᾖ αὐτός τά πάντα ἐν πᾶσι πρωτεύων· καί ἀνελθών εἰς τούς οὐρανούς, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης σου ἐν ὑψηλοῖς· ὅς καί ἥξει, ἀποδοῦναι ἑκάστῳ κατά τά ἔργα αὐτοῦ. Κατέλιπε δέ ἡμῖν ὑπομνήματα τοῦ σωτηρίου αὐτοῦ πάθους ταῦτα, ἅ προτεθείκαμεν ἐνώπιόν σου, κατά τάς αὐτοῦ ἐντολάς. Μέλλων γάρ ἐξιέναι ἐπί τόν ἑκούσιον, καί ἀοίδιμον, καί ζωοποιόν αὐτοῦ θάνατον, τῇ νυκτί, ᾗ παρεδίδου ἑυατόν ὑπέρ τῆς τοῦ κόσμου ζωῆς, λαβών ἄρτον ἐπί τῶν ἁγίων αὐτοῦ καί ἀχράντων χει-

ρῶν, καί ἀναδείξας σοί τῷ Θεῷ καί Πατρί, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας,

Ὁ Ἱερεύς, μετά τῆς δεξιᾶς αὐτοῦ χειρός δεικνύων τό ἅγιον Ἄρτον ἐκφωνεῖ·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καί ἀποστόλοις, εἰπών· Λάβετε, φάγετε· τοῦτό μού ἐστι τό σῶμα, τό ὑπέρ ὑμῶν κλώμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς μυστικῶς·

Ὁμοίως καί τό Ποτήριον ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου λαβών, κεράσας, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας,

Δεικνύων δέ, τό ἅγιον Ποτήριον ὁ Ἱερεύς ἐκφωνεῖ·

Ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καί ἀποστόλοις, εἰπών· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τό αἷμά μου, τό τῆς καινῆς Διαθήκης, τό ὑπέρ ὑμῶν καί πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς κλινόμενος πάλιν λέγει τήν εὐχήν μυστικῶς·

Τοῦτο ποιεῖτε εἰς τήν ἐμήν ἀνάμνησιν· ὁσάκις γάρ ἄν ἐσθίητε τόν ἄρτον τοῦτον, καί τό ποτήριον τοῦτο πίνητε, τόν ἐμόν θάνατον καταγγέλλετε, τήν ἐμήν ἀνάστασιν ὁμολογεῖτε. Μεμνημένοι οὖν, Δέσποτα, καί ἡμεῖς τῶν σωτηρίων αὐτοῦ παθημάτων, τοῦ ζωοποιοῦ σταυροῦ, τῆς τριημέρου ταφῆς, τῆς ἐκ νεκρῶν ἀναστάσεως, τῆς εἰς οὐρανούς ἀνόδου, τῆς ἐξ δεξιῶν σοῦ τοῦ Θεοῦ καί Πατρός καθέδρας, καί τῆς ἐνδόξου καί φοβερᾶς δευτέρας αὐτοῦ παρουσίας·

Εἶτα ὁ Διάκονος, ἤ ὁ Ἱερεύς, ἔχων σταυρωμένας τάς χεῖρας καί κρατῶντας διά τῆς δεξιᾶς αὐτοῦ χειρός τό ἅ-

γιον Δισκάριον, καί διά τῆς ἀριστερᾶς αὐτοῦ χειρός τό ἅγιον Ποτήριον, ὑψώνει αὐτά καί ἐκφωνεῖ λέγων·

Τά σά ἐκ τῶν σῶν, σοί προσφέρομεν κατά πάντα, καί διά πάντα.

Ὁ Χορός·

Σέ ὑμνοῦμεν, σέ εὐλογοῦμεν, σοί εὐχαριστοῦμεν, Κύριε, καί δεόμεθά σου, ὁ Θεός ἡμῶν.

Ὁ Ἱερεύς κλίνας τήν κεφαλήν μετά πάσης κατανύξεως λέγει μυστικῶς·

Διά τοῦτο, Δέσποτα πανάγιε, καί ἡμεῖς οἱ ἁμαρτωλοί καί ἀνάξιοι δοῦλοί σου, οἱ καταξιωθέντες λειτουργεῖν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, οὐ διά τάς δικαιοσύνας ἡμῶν, οὐ γάρ ἐποιήσαμέν τι ἀγαθόν ἐπί τῆς γῆς, ἀλλά διά τά ἐλέη σου, καί τούς οἰκτιρμούς σου, οὕς ἐξέχεας πλουσίως ἐφ᾿ ἡμᾶς, θαρροῦντες προσεγγίζομεν τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καί προθέντες τά ἀντίτυπα τοῦ ἁγίου σώματος καί αἵματος τοῦ Χριστοῦ σου, σοῦ δεόμεθα, καί σέ παρακαλοῦμεν, ἅγιε ἁγίων, εὐδοκίᾳ τῆς σῆς ἀγαθότητος, ἐλθεῖν τό Πνεῦμά σου τό Ἅγιον ἐφ᾿ ἡμᾶς, καί ἐπί τά προκείμενα δῶρα ταῦτα, καί εὐλογῆσαι αὐτά, καί ἁγιάσαι, καί ἀναδεῖξαι·

Εἶτα ὁ Ἱερεύς καί ὁ Διάκονος, προσκυνοῦσι τρίς ἕκαστος, ἔμπροσθεν τῆς ἁγίας Τραπέζης λέγοντες· Ὁ Θεός ἱλάσθητι μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με.

Εἶτα, ὁ Διάκονος λέγει·

Εὐλόγησον, Δέσποτα, τόν ἅγιον Ἄρτον.

Ὁ Ἱερεύς εὐλογῶντόν ἅγιον Ἄρτον καί ποιεῖ τό σημεῖον τοῦ Σταυροῦ ἐπάνω αὐτοῦ λέγει·

Τόν μέν ἄρτον τοῦτον, αὐτό τό τίμιον σῶμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ὁ Διάκονος· Ἀμήν.

Εὐλόγησον, Δέσποτα, τό ἅγιον Ποτήριον.

Ὁ Ἱερεύς, εὐλογεῖ τό ἅγιον Ποτήριον, καί λέγει·

Τό δέ ποτήριον τοῦτο, αὐτό τό τίμιον αἷμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τό ἐκχυθέν ὑπέρ τῆς τοῦ κόσμου ζωῆς καί σωτηρίας.

Ὁ Διάκονος· Ἀμήν.

Εὐλόγησον, Δέσποτα, ἀμφότερα τά Ἅγια.

Ὁ Ἱερεύς, εὐλογεῖ τόν ἅγιον Ἄρτον καί τό ἅγιον Ποτήριον μαζί, σταυροειδῶς λέγοντας·

Μεταβαλών τῷ Πνεύματί σου τῷ Ἁγίῳ.

Ὁ Διάκονος·

Ἀμήν· Ἀμήν· Ἀμήν·

Ὁ Ἱερεύς ὑποκλινόμενος λέγει τήν εὐχήν μυστικῶς·

Ἡμᾶς δέ πάντας, τούς ἐκ τοῦ ἑνός ἄρτου καί τοῦ ποτηρίου μετέχοντας, ἑνώσαις ἀλλήλοις εἰς ἑνός Πνεύματος Ἁγίου κοινωνίαν, καί μηδένα ἡμῶν εἰς κρῖμα, ἤ εἰς κατάκριμα ποιήσαις μετασχεῖν τοῦ ἁγίου σώματος, καί αἵματος τοῦ Χριστοῦ σου· ἀλλ᾽ ἵνα εὕρωμεν ἔλεον καί χάριν μετά πάντων τῶν ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων, Προπατόρων, Πατέρων, Πατριαρχῶν, Προφητῶν, Ἀποστόλων, Κηρύκων, Εὐαγγελιστῶν, Μαρτύρων, Ὁμολογητῶν, Διδασκάλων, καί παντός πνεύματος δικαίου ἐν πίστει τετελειωμένου.

Εἶτα, ὁ Ἱερεύς θυμιᾷ τρίς τά Ἅγια, ἐκφωνεῖ·

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας.

Ὁ Διάκονος θυμιάσας τήν ἁγίαν τράπεζαν κύκλῳ μνημονεύει τά Δίπτυχα ὧν βούλεται ζώντων καί τεθνεώτων.

Ὁ Χορός ψάλλει τό·

᾿Επί σοί χαίρει, Κεχαριτωμένη... ὁ πρό αἰώνων ὑπάρχων Θεός ἡμῶν... Τήν γάρ σήν μήτραν θρόνον ἐποίησε...

Τοῦ Μεγαλυναρίου τῆς Θεοτόκου δέ, ψαλλομένου ὑπό τοῦ δεξιοῦ Χοροῦ, ὁ ῾Ιερεύς διαβάζει μυστικῶς τήν εὐχήν·

Τοῦ ἁγίου ᾿Ιωάννου, προφήτου, Προδρόμου καί βαπτιστοῦ· τῶν ἁγίων, ἐνδόξων καί πανευφήμων ᾿Αποστόλων· τοῦ ἁγίου (τοῦ δεῖνος), οὗ καί τήν μνήμην ἐπιτελοῦμεν, καί πάντων σου τῶν ῾Αγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς, ὁ Θεός. Καί μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ᾿ ἐλπίδι ἀναστάσεως, ζωῆς αἰωνίου (καί μνημονεύει ἐνταῦθα ὀνομαστί καί ὧν βούλεται τεθνεώτων)· καί ἀνάπαυσον αὐτούς, ὅπου ἐπισκοπεῖ τό φῶς τοῦ προσώπου σου. Ἔτι σοῦ δεόμεθα· Μνήσθητι, Κύριε, τῆς ἁγίας σου, καθολικῆς καί ἀποστολικῆς ᾿Εκκλησίας, τῆς ἀπό περάτων ἕως περάτων τῆς οἰκουμένης, καί εἰρήνευσον αὐτήν, ἥν περιεποιήσω τῷ τιμίῳ αἵματι τοῦ Χριστοῦ σου, καί τόν ἅγιον οἶκον τοῦτον στερέωσον μέχρι τῆς συντελείας τοῦ αἰῶνος. Μνήσθητι, Κύριε, τῶν τά δῶρά σοι ταῦτα προσκομισάντων, καί ὑπέρ ὧν, καί δι᾿ ὧν, καί ἐφ᾿ οἷς αὐτά προσεκόμισαν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καί καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καί μεμνημένων τῶν πενήτων· ἄμειψαι αὐτούς τοῖς πλουσίοις σου καί ἐπουρανίοις χαρίσμασι· χάρισαι αὐτοῖς ἀντί τῶν ἐπιγείων, τά ἐπουράνια· ἀντί τῶν προσκαίρων, τά αἰώνια· ἀντί τῶν φθαρτῶν, τά ἄφθαρτα. Μνήσθητι, Κύριε, τῶν ἐν ἐρημίαις, καί ὄρεσι, καί σπηλαίοις, καί ταῖς ὀπαῖς τῆς γῆς. Μνήσθητι, Κύριε, τῶν ἐν παρθενίᾳ, καί εὐλαβείᾳ καί ἀσκήσει, καί σεμνῇ πολιτείᾳ διαγόντων. Μνήσθητι, Κύριε, τῶν εὐσεβεστάτων καί πιστοτάτων ἡμῶν βασιλέων, οὕς ἐδικαίωσας βασιλεύειν ἐπί τῆς γῆς· ὅπλῳ ἀληθείας, ὅπλῳ εὐδοκίας στεφάνωσον αὐτούς· ἐπισκίασον ἐπί τήν κεφαλήν αὐτῶν ἐν ἡμέρᾳ πολέμου· ἐνίσχυσον αὐτῶν τόν βραχίονα· ὕψωσον αὐτῶν τήν δεξιάν· κράτυνον αὐτῶν τήν βασιλείαν· ὑπόταξον αὐτοῖς πάντα τά βάρβαρα ἔθνη, τά τούς πολέμους θέλοντα· χάρισαι αὐτοῖς βαθεῖαν καί ἀναφαίρετον εἰρήνην· λάλησον εἰς τήν καρδίαν αὐ-

τῶν ἀγαθά ὑπέρ τῆς Ἐκκλησίας σου καί παντός τοῦ λαοῦ σου· ἵνα ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καί ἡσύχιον βίον διάγωμεν, ἐν πάσῃ εὐσεβείᾳ καί σεμνότητι. Μνήσθητι, Κύριε, πάσης Ἀρχῆς καί Ἐξουσίας, καί τῶν ἐν τῷ παλατίῳ ἀδελφῶν ἡμῶν, καί παντός τοῦ στρατοπεδου. Τούς ἀγαθούς, ἐν τῇ ἀγαθότητί σου διατήρησον· τούς πονηρούς, ἀγαθούς ποίησον ἐν τῇ χρηστότητί σου. Μνήσθητι, Κύριε, τοῦ περιεστῶτος λαοῦ, καί τῶν δι᾽ εὐλόγους αἰτίας ἀπολειφθέντων, καί ἐλέησον αὐτούς καί ἡμᾶς, κατά τό πλῆθος τοῦ ἐλέους σου· τά ταμεῖα αὐτῶν ἔμπλησον παντός ἀγαθοῦ· τάς συζυγίας αὐτῶν ἐν εἰρήνῃ καί ὁμονοίᾳ διατήρησον· τά νήπια ἔκθρεψον· τήν νεότητα παιδαγώγησον· τό γῆρας περικράτησον· τούς ὀλιγοψύχους παραμύθησον τούς ἐσκορπισμένους ἐπισυνάγαγε· τούς πεπλανημένους ἐπανάγαγε, καί σύναψον τῇ ἁγίᾳ σου, καθολικῇ, καί ἀποστολικῇ Ἐκκλησίᾳ. Τούς ὀχλουμένους ὑπό πνευμάτων ἀκαθάρτων ἐλευθέρωσον· τοῖς πλέουσι σύμπλευσον· τοῖς ὁδοιποροῦσι συνόδευσον· χηρῶν πρόστηθι· ὀρφανῶν ὑπεράσπισον· αἰχμαλώτους ρῦσαι· νοσοῦντας ἴασαι. Τῶν ἐν βήμασι, καί μετάλλοις, καί ἐξορίαις, καί πικραῖς δουλείαις, καί πάσῃ θλίψει καί ἀνάγκῃ καί περιστάσει ὄντων, μνημόνευσον, ὁ Θεός, καί πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας· καί τῶν ἀγαπώντων ἡμᾶς καί τῶν μισούντων, καί τῶν ἐντειλαμένων ἡμῖν τοῖς ἀναξίοις εὔχεσθαι ὑπέρ αὐτῶν, καί παντός τοῦ λαοῦ σου, μνήσθητι, Κύριε, ὁ Θεός ἡμῶν, καί ἐπί πάντας ἔκχεον τό πλούσιόν σου ἔλεος, πᾶσι παρέχων τά πρός σωτηρίαν αἰτήματα. Καί ὧν ἡμεῖς οὐκ ἐμνημονεύσαμεν, δι᾽ ἄγνοιαν, ἤ λήθην, ἤ πλῆθος ὀνομάτων, αὐτός μνημόνευσον, ὁ Θεός, ὁ εἰδώς ἑκάστου τήν ἡλικίαν, καί τήν προσηγορίαν, ὁ εἰδώς ἕκαστον ἐκ κοιλίας μητρός αὐτοῦ. Σύ γάρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπίς τῶν ἀπηλπισμένων, ὁ

τῶν χειμαζομένων σωτήρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός. Αὐτός τοῖς πᾶσι τά πάντα γενοῦ, ὁ εἰδώς ἕκαστον, καί τό αἴτημα αὐτοῦ, οἶκον, καί τήν χρείαν αὐτοῦ· Ρῦσαι, Κύριε, τήν πόλιν (ἤ τήν μονήν) ταύτην, καί πᾶσαν πόλιν, καί χώραν, ἀπό λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καί ἐμφυλίου πολέμου.

Εἰς τό σημεῖον δέ αὐτό, ὁ Ἱερεύς εὐλογεῖ τό ἀντίδωρον.

Εἶτα, ὁ Ἱερεύς ἐκφωνεῖ·

Ἐν πρώτοις, μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὅν χάρισαι ταῖς ἁγίαις σου Ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καί ὀρθοτομοῦντα τόν λόγον τῆς σῆς ἀληθείας.

Ὁ Διάκονος στάς εἰς τήν Ὡραίαν Πύλην ἐκφωνεῖ·

Καί ὧν ἕκαστος κατά διάνοιαν ἔχει, καί πάντων καί πασῶν.

Ὁ Χορός·

Καί πάντων καί πασῶν.

Τήν α΄ Ἰανουαρίου ὁ Χορός ψάλλει· Τόν οὐρανοφάντορα...

Ὁ Ἱερεύς ὑποκλινόμενος λέγει τήν εὐχήν μυστικῶς·

Μνήσθητι, Κύριε, πάσης Ἐπισκοπῆς Ὀρθοδόξων, τῶν ὀρθοτομούντων τόν λόγον τῆς σῆς ἀληθείας. Μνήσθητι, Κύριε, κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου, καί τῆς ἐμῆς ἀναξιότητος· συγχώρησόν μοι πᾶν πλημμέλημα ἑκούσιόν τε καί ἀκούσιον καί μή διά τάς ἐμάς ἁμαρτίας κωλύσῃς τήν χάριν τοῦ Ἁγίου σου Πνεύματος ἀπό τῶν προκειμένων δώρων· Μνήσθητι, Κύριε, τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καί παντός ἱερατι-

κοῦ τάγματος· καί μηδένα ἡμῶν καταισχύνῃς τῶν κυκλούντων τό ἅγιόν σου θυσιαστήριον. Ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, Κύριε· ἐπιφάνηθι ἡμῖν ἐν τοῖς πλουσίοις σου οἰκτιρμοῖς· εὐκράτους καί ἐπωφελεῖς τούς ἀέρας ἡμῖν χάρισαι· ὄμβρους εἰρηνικούς τῇ γῇ πρός καρποφορίαν δώρησαι· εὐλόγησον τόν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου· παῦσον τά σχίσματα τῶν Ἐκκλησιῶν· σβέσον τά φρυάγματα τῶν ἐθνῶν· τάς τῶν αἱρέσεων ἐπαναστάσεις ταχέως κατάλυσον, τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος. Πάντας ἡμᾶς πρόσδεξαι εἰς τήν βασιλείαν σου, υἱούς φωτός, καί υἱούς ἡμέρας ἀναδείξας· τήν σήν εἰρήνην, καί τήν σήν ἀγάπην χάρισαι ἡμῖν, Κύριε ὁ Θεός ἡμῶν· πάντα γάρ ἀπέδωκας ἡμῖν.

Ὁ Ἱερεύς ἐκφωνεῖ·

Καί δός ἡμῖν, ἐν ἑνί στόματι καί μιᾷ καρδίᾳ, δοξάζειν καί ἀνυμνεῖν τό πάντιμον καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς εὐλογεῖ τόν λαόν, καί λέγει·

Καί ἔσται τά ἐλέη τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετά πάντων ὑμῶν.

Ὁ Χορός·

Καί μετά τοῦ πνεύματός σου.

Ὁ Διάκονος·

Πάντων τῶν ἁγίων μνημονεύσαντες, ἔτι καί ἔτι ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Οἱ Χοροί ἐναλλάξ τό·

Κύριε, ἐλέησον.

Ὑπέρ τῶν προσκομισθέντων, καί ἁγιασθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεός ἡμῶν, ὁ προσδεξάμενος αὐτά εἰς τό ἅγιον, καί ὑπερουράνιον, καί νοερόν αὐτοῦ Θυσιαστήριον, εἰς ὀσμήν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τήν θείαν Χάριν, καί τήν δωρεάν τοῦ Ἁγίου Πνεύματος δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστόν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καί ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τά καλά καί συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καί εἰρήνην τῷ κόσμῳ παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τόν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καί μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανά τά τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καί καλήν ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τήν ἑνότητα τῆς πίστεως, καί τήν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς, κλινόμενος, λέγει τήν εὐχήν μυστικῶς·

Ὁ Θεός ἡμῶν, ὁ Θεός τοῦ σώζειν, σύ ἡμᾶς δίδαξον εὐχαριστεῖν σοι ἀξίως ὑπέρ τῶν εὐεργεσιῶν σου, ὧν ἐποίησας, καί ποιεῖς μεθ᾿ ἡμῶν. Σύ, ὁ Θεός ἡμῶν, ὁ προσδεξάμενος τά δῶρα ταῦτα, καθάρισον ἡμᾶς ἀπό παντός μολυσμοῦ σαρκός καί πνεύματος, καί δίδαξον ἁγιωσύνην ἐπιτελεῖν ἐν φόβῳ σου· ἵνα, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ὑποδεχόμενοι τήν μερίδα τῶν ἁγιασμάτων σου, ἑνωθῶμεν τῷ ἁγίῳ σώματι καί αἵματι τοῦ Χριστοῦ σου· καί ὑποδεξάμενοι αὐτά ἀξίως, σχῶμεν τόν Χριστόν, κατοικοῦντα ἐν ταῖς καρδίαις ἡμῶν, καί γενώμεθα ναός τοῦ Ἁγίου σου Πνεύματος. Ναί, ὁ Θεός ἡμῶν, καί μηδένα ἡμῶν ἔνοχον ποιήσῃς τῶν φρικτῶν σου τούτων, καί ἐπουρανίων μυστηρίων, μηδέ ἀσθενῆ ψυχῇ καί σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλά δός ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἀξίως ὑποδέχεσθαι τήν μερίδα τῶν ἁγιασμάτων σου, εἰς ἐφόδιον ζωῆς αἰωνίου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου· ὅπως ἄν καί ἡμεῖς μετά πάντων τῶν ἁγίων τῶν ἀπ᾿ αἰῶνός σοι εὐαρεστησάντων, γενώμεθα μέτοχοι τῶν αἰωνίων σου ἀγαθῶν, ἅ ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως·

Καί καταξίωσον ἡμᾶς, Δέσποτα, μετά παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαί σε, τόν ἐπουράνιον Θεόν, Πατέρα, καί λέγειν.

Ὁ λαός ἀπαγγέλει τήν Κυριακή Προσευχήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς ἁγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γενηθήτω τό θέλημά Σου, ὡς ἐν οὐρανῷ καί ἐπί τῆς γῆς. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός ἡμῖν σήμερον· καί ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡ-

μῶν· καί, μή εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλά ῥῦσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ὁ Ἱερεύς ἐκφώνως.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς εὐλογεῖ τόν λαόν, καί λέγει·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καί τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίωνμεν.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς, κλινόμενος, λέγει τήν εὐχήν μυστικῶς·

Δέσποτα Κύριε, ὁ Πατήρ τῶν οἰκτιρμῶν, καί Θεός πάσης παρακλήσεως, τούς ὑποκεκλικότας σοι τάς ἑαυτῶν κεφαλάς εὐλόγησον, ἁγίασον, φρούρησον, ὀχύρωσον, ἐνδυνάμωσον, ἀπό παντός ἔργου πονηροῦ ἀπόστησον, παντί δ᾽ ἔργῳ ἀγαθῷ σύναψον, καί καταξίωσον ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου τούτων καί ζωοποιῶν μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς Πνεύματος Ἁγίου κοινωνίαν.

Ὁ Ἱερεύς ἐκφώνως.

Χάριτι καί οἰκτιρμοῖς καί φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός, ἀργῶς· Ἀμήν.

Ὁ Ἱερεύς κλινόμενος ἐπεύχεται μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καί ἀπό θρόνου δόξης τῆς βασιλείας σου, καί ἐλθέ εἰς τό ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πα-

τρί συγκαθήμενος καί ὧδε ἡμῖν ἀοράτως συνών. Καί καταξίωσον τῇ κραταιᾷ σου χειρί μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καί τοῦ τιμίου αἵματος, καί δι᾽ ἡμῶν παντί τῷ λαῷ.

Μετά δέ τήν Εὐχήν, προσκυνεῖ τρίς λέγων καθ᾽ ἑαυτόν·

Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ καί ἐλέησόν με.

Ὁ Διάκονος, ἔξω ἱστάμενος, ἐκφωνεῖ·

Πρόσχωμεν.

Ὁ Ἱερεύς, βαλών τάς χεῖρας, ἅπτεται τοῦ ζωοποιοῦ Ἄρτου μετ᾽ εὐλαβείας καί φόβου πολλοῦ, ὑψώνει δέ αὐτόν καί ποιῶν τό σχῆμα τοῦ σταυροῦ, ἐκφωνεῖ·

Τά Ἅγια τοῖς ἁγίοις.

Ὁ Χορός·

Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καί εἶτα ψάλλει τό Κοινωνικόν τῆς ἡμέρας·

Ὁ Διάκονος·

Μέλισον, Δέσποτα, τόν ἅγιον Ἄρτον.

Ὁ Ἱερεύς μελίζει αὐτόν εἰς τέσσαρα τμήματα μετά προσοχῆς καί εὐλαβείας λέγων·

Μελίζεται καί διαμερίζεται ὁ Ἀμνός τοῦ Θεοῦ, ὁ μελιζόμενος, καί μή διαιρούμενος, ὁ πάντοτε ἐσθιόμενος, καί μηδέποτε δαπανώμενος, ἀλλά τούς μετέχοντας ἁγιάζων.

Καί κατατάττει τά τέσσαρα τμήματα ταῦτα σταυροειδῶς ἐν τῷ ἁγίῳ Δισκαρίῳ.

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Ὁ Διάκονος·
Πλήρωσον, Δέσποτα, τό ἅγιον Ποτήριον.

Ὁ δέ Ἱερεύς, λαβών τήν μερίδα, τήν ἔχουσαν τούς χαρακτῆρας, **ΙΣ** , ποιεῖ σταυρόν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, καί βάζει αὐτήν εἰς αὐτό λέγων·

Πλήρωμα ποτηρίου πίστεως, Πνεύματος Ἁγίου.

Ὁ Διάκονος· Ἀμήν.

Καί λαβών αὐτός τό Ζέον, λέγει πρός τόν Ἱερέα·
Εὐλόγησον, Δέσποτα, τό Ζέον.

Ὁ δέ Ἱερεύς εὐλογεῖ, λέγων·

Εὐλογημένη ἡ ζέσις τῶν Ἁγίων σου, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί ὁ Διάκονος βάζει σταυροειδῶς ζέον ὅσον χρειάζεται, ἐντός τοῦ ἁγίου Ποτηρίου, λέγοντος τοῦ Ἱερέως.

Ζέσις πίστεως, πλήρης Πνεύματος ἁγίου.

Ὁ Διάκονος· Ἀμήν.

Εἶτα ὁ Ἱερεύς ἤ ὁ Διάκονος, διαβάζει μυστικῶς τάς εὐχάς πρό τῆς Μεταλήψεως.

Πρό τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα, καί τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι, ἀλλά σύ Χριστέ ὁ Θεός, ὁ τελώνην δικαιώσας, καί χαναναίαν ἐλεήσας, καί τῷ ληστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τά σπλάγχνα τῆς φιλανθρωπίας σου καί δέξαι με προσερχόμενον καί ἁπτόμενόν σου, ὡς τήν πόρνην, καί τήν αἱμόρρουν· ἡ μέν γάρ, τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τήν ἴασιν ἔλαβεν, ἡ δέ, τούς σούς ἀχράντους πόδας κρατήσασα, τήν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγώ δέ ὁ ἐλεεινός, ὅλον σου τό σῶμα τολμῶν δέξασθαι, μή καταφλεχθείην· ἀλλά δέξαι με, ὥσπερ ἐκείνας καί φώτισόν μου τά τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τά τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης

σε, καί τῶν ἐπουρανίων δυνάμεων. Ὅτι εὐλογητός εἶ, εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πιστεύω Κύριε, καί ὁμολογῶ, ὅτι σύ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱός τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθών εἰς τόν κόσμον ἁμαρτωλούς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τό ἄχραντον Σῶμά σου, καί τοῦτο αὐτό ἐστι τό τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καί συγχώρησόν μοι τά παραπτώματά μου, τά ἑκούσια καί τά ἀκούσια, τά ἐν λόγῳ τά ἐν ἔργῳ, τά ἐν γνώσει καί ἀγνοίᾳ· καί ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον. Ἀμήν.

Ἐρχόμενος δέ μεταλαβεῖν, λέγει τούς ἑξῆς Στίχους τοῦ Μεταφραστοῦ·

Ἰδού, βαδίζω πρός θείαν Κοινωνίαν·
Πλαστουργέ, μή φλέξῃς με τῇ μετουσίᾳ·
Πῦρ γάρ ὑπάρχεις τούς ἀναξίους φλέγον.
Ἀλλ᾽ οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Εἶτα τό Τροπάριον·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱέ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μή γάρ τοῖς ἐχθροῖς σου τό μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ Λῃστής ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Εἶτα πάλιν τούς παρόντας Στίχους·

Θεουργόν Αἷμα φρῖξον, ἄνθρωπε βλέπων·
Ἄνθραξ γάρ ἐστι τούς ἀναξίους φλέγων·
Θεοῦ τό Σῶμα, καί θεοῖ με, καί τρέφει·
Θεοῖ τό πνεῦμα, τόν δέ νοῦν τρέφει ξένως.

Καί τά Τροπάρια ταῦτα·

Ἔθελξας πόθῳ με Χριστέ, καί ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλά κατάφλεξον πυρί ἀΰλῳ τάς ἁμαρτίας

μου, καί ἐμπλησθῆναι τῆς ἐν σοί τρυφῆς καταξίωσον, ἵνα τάς δύο σκιρτῶν μεγαλύνω, Ἀγαθέ, παρουσίας σου.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; Ἐάν γάρ τολμήσω συνεισελθεῖν εἰς τόν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καί δέσμιος ἐκβαλοῦμαι ὑπό τῶν Ἀγγέλων· καθάρισον, Κύριε, τόν ρύπον τῆς ψυχῆς μου, καί σῶσόν με, ὡς φιλάνθρωπος.

Καί τήν παροῦσαν Εὐχήν·

Δέσποτα φιλάνθρωπε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, μή είς κρῖμα μοι γένοιτο τά Ἅγια ταῦτα, διά τόν ἀνάξιον εἶναί με, ἀλλ᾽ εἰς κάθαρσιν καί ἁγιασμόν ψυχῆς τε καί σώματος, καί εἰς ἀρραβῶνα μελλούσης ζωῆς καί βασιλείας. Ἐμοί δέ τό προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τήν ἐλπίδα τῆς σωτηρίας μου.

Καί πάλιν·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱέ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μή γάρ τοῖς ἐχθροῖς σου τό μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ᾽ ὡς ὁ Ληστής ὁμολογῳ σοι· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Ἐνταῦθα ὅ τε Ἱερεύς καί καί Διάκονος ἀνιστάμενοι ὑψοῦσι τάς χεῖράς των ἔμπροσθεν τῆς ἁγίας Τραπέζης ἐπευχόμενοι μυστικῶς·

Εὐλογεῖτε με θεῖοι Ἄγγελοι, Ἀρχάγγελοι, Ἀρχαί, Κυριότητες καί Ἐξουσίαι, τά πολυόμματα Χερουβίμ, καί τά ἑξαπτέρυγα Σεραφίμ, τόν ἀνάξιον (δεῖνα) ἱερέα, (ἤ ἱερομόναχον).

Παναγία Δέσποινα Θεοτόκε, πρέσβευε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Πᾶσαι αἱ οὐράνιαι Δυνάμεις τῶν ἁγίων Ἀγγέλων καί Ἀρχαγγέλων, πρεσβεύσατε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιε Ἰωάννη προφῆτα, καί πρόδρομε, καί βαπτιστά τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πρέσβευε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἅγιοι ἔνδοξοι Ἀπόστολοι, Προφῆται, καί Μάρτυρες, καί πάντες Ἅγιοι, πρεσβεύσατε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ὅσιοι θεοφόροι Πατέρες ἡμῶν, ποιμένες, καί διδάσκαλοι τῆς οἰκουμένης, πρεσβεύσατε ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν.

Ἡ ἀήττητος, καί ἀκατάλυτος, καί θεία δύναμις τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ, μή ἐγκαταλίπῃς ἡμᾶς τούς ἁμαρτωλούς.

Τότε προσέρχονται ἵνα κοινωνήσωσιν· ὁ δέ Ἱερεύς λέγει τῷ Διακόνῳ ἤ τῷ συλλειτουργῷ του, ἤ τοῖς τυχόν παρισταμένοις ἄλλοις κληρικοῖς ὑποκλινόμενος.

Ἀδελφέ, καί συλλειτουργέ, συγχώρησόν μοι τῷ ἁμαρτωλῷ.

(ἤ συγχωρήσατέ μοι, ἀδελφοί καί πατέρες, τῷ ἁμαρτωλῷ.)

Ἀποκρίνεται δέ ὁ Διάκονος·

Τῆς ἱερωσύνης σου μνησθείη Κύριος ὁ Θεός ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα λέγει, ὁ Ἱερεύς, τρίς·

Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καί ἐλέησόν με.

Καί πλησιάσας εἰς τά Ἅγια μετά φόβου καί τρόμου, λαμβάνει ἕν μέρος (μίαν μερίδα) ἐκ τοῦ ἁγίου Ἄρτου (ΧΣ), καί λέγει·

Ἰδού, προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καί Θεῷ ἡμῶν. Μεταδίδοταί μοι (τῷ δεῖνι) τῷ ἀναξίῳ Πρεσβυτέρῳ (ἤ Πρεσβυτέρῳ καί μοναχῷ), τό τίμιον καί πανάγιον Σῶμα τοῦ Κυρίου καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν μου ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον.

Καί οὕτω μεταλαμβάνει τοῦ ἐν χερσίν αὐτοῦ ἁγίου Ἄρτου μετά φόβου καί πάσης εὐλαβείας, λέγων· Ἀμήν.

Εἶτα λέγει εἰς τόν Διάκονον·

Διάκονε, πρόσελθε.

Ὁ Διάκονος προσελθών καί ἁπλώσας τάς χεῖρας σταυροειδῶς, ἔχων τήν δεξιάν ἐπί τῆς ἀριστερᾶς παλάμης, λέγει·

Ἰδού, προσέρχομαι Χριστῷ τῷ ἀθανάτῳ βασιλεῖ καί Θεῷ ἡμῶν. Μετάδος μοι, Δέσποτα (τῷ δεῖνι) τῷ ἀναξίῳ Διακόνῳ, τό τίμιον καί πανάγιον Σῶμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν μου ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον.

Ὁ δέ Ἱερεύς, κρατῶν τήν μερίδα τοῦ ἁγίου Ἄρτου, δίδει εἰς τόν Διάκονον, λέγων·

Μεταδίδοταί σοι (τῷ δεῖνι) τῷ εὐλαβεστάτῳ Διακόνῳ τό τίμιον, καί πανάγιον Σῶμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον.

Ὁ δέ Διάκονος, ἀσπασάμενος τήν μεταδοῦσαν αὐτῷ χεῖρα, λαμβάνει τόν ἅγιον Ἄρτον καί ἀπέρχεται ὄπισθεν τῆς ἱερᾶς Τραπέζης· καί κλίνας τήν κεφαλήν, μεταλαμβάνει, τοῦ ἐν τῇ παλάμῃ αὐτοῦ.

Τό αὐτό ποιοῦσι καί οἱ Ἱερεῖς, ὅταν συλλειτουργοῦσιν.

Ὁ πρῶτος τῶν Ἱερέων, ἀφ᾽ οὗ μεταλάβῃ τοῦ τιμίου Σώματος, μεταδίδει τοῦτο καί εἰς τόν Διάκονον.

Εἶτα ὁ Ἱερεύς λαμβάνει τό κάλυμμα καί καλῶς ἐπιστηρίξας ὑπό τόν πώγωνα αὐτοῦ, λαμβάνει, ἀμφοτέραις ταῖς χερσί, σύν τῷ καλύμματι τό ἅγιον Ποτήριον, καί λέγει·

Ἔτι μεταδίδοταί μοι (τῷ δεῖνι) τῷ ἀναξίῳ Πρεσβυτέρῳ (ἤ Πρεσβυτέρῳ καί μοναχῷ), τό τίμιον, καί πανάγιον Αἷμα τοῦ Κυρίου, καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν μου ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον.

Καί μεταλαμβάνει τρίτον ἐξ αὐτοῦ, οὐδέν λέγων· καί ἀποσπογγίσας δια τοῦ ἐν χερσί καλύμματος τά τε ἴδια χείλη καί τό ἅγιον Ποτήριον, καί παρά τό χεῖλος ἔξωθεν τό Ποτήριον ἀσπασάμενος, καί ὑψών αὐτό λέγει·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καί ἀφελεῖ Κύριος πάσας τάς ἀνομίας μου καί τάς ἁμαρτίας μου περικαθαριεῖ.

Καλεῖ δέ τόν Διάκονον, λέγων·

Διάκονε, ἔτι πρόσελθε.

Ἐλθών δέ ὁ Διάκονος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης σπογγίζει μετά τῆς Μούσης τήν παλάμην αὐτοῦ ἐπί τοῦ ἁγίου Δισκαρίου μετά προσοχῆς, καί λέγει·

Μετάδός μοι, Δέσποτα, (τῷ δεῖνι) τῷ ἀναξίῳ Διακόνῳ, τό τίμιον καί πανάγιον Αἷμα τοῦ Κυρίου καί Θεοῦ, καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καί εἰς ζωήν αἰώνιον.

Καί ὁ Ἱερεύς, μεταδιδούς αὐτῷ τρίς ἐκ τοῦ ἁγίου Ποτηρίου, λέγει·

Μεταδίδοταί σοι (τῷ δεῖνι) τῷ εὐλαβεστάτῳ Διακόνῳ, τό τίμιον καί πανάγιον, Αἷμα τοῦ Κυρίου, καί Θε-

οῦ, καί Σωτῆρος ἡμῶν ᾿Ιησοῦ Χριστοῦ, εἰς ἄφεσίν σου ἁμαρτιῶν καί εἰς ζωήν αἰώνιον. ᾿Αμήν.

Εἶτα ἀποσπογγίσας καί αὐτός διά τοῦ ἐν χερσί καλύμματος τά τε ἴδια χείλη καί τοῦ ἱεροῦ Ποτηρίου, ἀσπάζεται τό ἅγιον Ποτήριον.

Εἶτα ὁ ῾Ιερεύς, ὑψώνει τό ἅγιον Ποτήριον, λέγει·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καί ἀφελεῖ Κύριος πάσας τάς ἀνομίας μου καί τάς ἁμαρτίας μου περικαθαριεῖ.

Εἶτα ὁ Διάκονος λαμβάνει τό ἅγιον Δισκάριον μέ τήν ἀριστεράν χεῖρα καί διά τῶν δύο δακτύλων τῆς δεξιᾶς χειρός τήν Μοῦσαν, καί βάζει τίς μερίδες τοῦ ἁγίου Σώματος (τό ὑπόλοιπον τοῦ **χσ**, τό **νι** καί **κα**), καί τεμαχίζει αὐτά εἰς μικρά τεμάχια ἐάν πρόκηται νά μεταλάβῃ τούς πιστούς, μέσα εἰς τό ἅγιον Ποτήριον, μετά προσοχῆς καί εὐλαβείας, λέγων·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον, Κύριον ᾿Ιησοῦν, τόν μόνον ἀναμάρτητον. Τόν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καί τήν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καί δοξάζομεν· σύ γάρ εἶ Θεός ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τό ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί προσκυνήσωμεν τήν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοῦ γάρ ἦλθε διά τοῦ Σταυροῦ, χαρά ἐν ὅλῳ τῷ κόσμῳ· διά παντός εὐλογοῦντες τόν Κύριον, ὑμνοῦμεν τήν ἀνάστασιν αὐτοῦ· Σταυρόν γάρ ὑπομείνας δι᾿ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

Λέγει δέ, καί τήν θ' ᾠδήν τοῦ Κανόνος τοῦ Πάσχα·

**Φ**ωτίζου, φωτίζου, ἡ νέα ῾Ιερουσαλήμ, ἡ γάρ δόξα Κυρίου ἐπί σέ ἀνέτειλε. Χόρευε νῦν, καί ἀγάλλου Σιών, σύ δέ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

Ὦ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς· μεθ' ἡμῶν ἀψευδῶς γάρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ· ἥν οἱ πιστοί, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τό μέγα, καί ἱερώτατον Χριστέ· ὢ σοφία καί Λόγε, τοῦ Θεοῦ καί δύναμις, δίδου ἡμῖν ἐκτυπώτερον σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ ἡμέρᾳ τῆς βασιλείας σου.

Εἶτα ὁ Ἱερεύς τεμαχίζει τίς μερίδες τοῦ ἁγίου Ἄρτου, ὁ δέ Διάκονος λαβών εἰς τάς χεῖρας του τό ἅγιον Δισκάριον, καί τήν μοῦσαν, ρίχνει μέσα εἰς τό ἅγιον Ποτήριον, πρῶτα τό ἅγιον Σῶμα καί ὕστερα τήν μερίδα τῆς Θεοτόκου, τίς μερίδες τῶν ἐννέα ταγμάτων, καί τέλος τίς μερίδες τῶν ζώντων καί κεκοιμημένων, λέγοντας·

**Ἀ**πόπλυνον, Κύριε, τά ἁμαρτήματα τῶν ἐνθάδε μνημονευθέντων δούλων σου τῷ Αἵματί σου τῷ ἁγίῳ· πρεσβείαις τῆς Θεοτόκου καί πάντων σου τῶν Ἁγίων. Ἀμήν.

Ὅταν τελειώσει ἡ συστολή, ὁ Ἱερεύς κτυπᾶ σταυροειδῶς μέ τόν Ἀστερίσκον τό ἅγιον Δισκάριον, γιά νά κάνει κατάληξη τοῦ κοινωνικοῦ ὁ Ψάλτης, καί ὁ Διάκονος ἀνοίγει τήν Ὡραίαν Πύλην καί λαμβάνει τό ἅγιον Ποτήριον ἀπό τόν Ἱερέα, ἔρχεται εἰς τήν Ὡραίαν Πύλην καί λέγει·

Μετά φόβου Θεοῦ, πίστεως καί ἀγάπης προσέλθετε.

Εἶτα γίνεται ἡ μετάληψις τῶν πιστῶν ἐκτός τοῦ ἱεροῦ Βήματος. Ὅπου ὁ Ἱερεύς λαμβάνει τό ἅγιον Ποτήριον ἀπό τάς χεῖρας τοῦ Διακόνου, κοινωνεῖ τούς πιστούς λέγοντας εἰς ἕκαστον·

Μεταδίδοταί σοι τό Σῶμα καί τό Αἷμα τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καί εἰς ζωήν αἰώνιον. Ἀμήν.

Κατά τήν διάρκειαν τῆς θείας Κοινωνίας τῶν πιστῶν, ὁ Χορός ψάλλει Τοῦ δείπνου σου τοῦ μυστικοῦ..., ἐνῶ κατά τήν πασχάλιον περίοδον Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Εἶτα μετά τό τέλος τῆς θείας Κοινωνίας τῶν πιστῶν ὁ Ἱερεύς εὐλογεῖ τόν λαόν καί λέγει·

Σῶσον ὁ Θεός τόν Λαόν σου, καί εὐλόγησον τήν κληρονομίαν σου.

Ὁ Χορός ψάλλει τό·

Εἴδομεν τό φῶς τό ἀληθινόν....

Τῇ α´ Ἰανουαρίου· Μορφήν ἀναλλοιώτως...

Τῇ Μεγάλῃ Πέμπτῃ·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ...

Τῷ Μεγάλῳ Σαββάτῳ·

Μνήσθητι Δέσποτα, καί ἡμῶν, καθώς ἐμνημόνευσας τοῦ Λῃστοῦ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Εἶτα ὁ Ἱερεύς εἰσέρχεται εἰς τήν ἁγίαν Τράπεζαν, ἀποθέτει τό ἅγιον Ποτήριον, καί λαβών τό θυμιατόν λέγει ὁ Διάκονος μυστικῶς·

Ὕψωσον, Δέσποτα.

Ὁ Ἱερεύς, θυμιᾷ (ἐκ γ´) τά Ἅγια, λέγων μυστικῶς·

Ὑψώθητι ἐπί τούς οὐρανούς, ὁ Θεός, καί ἐπί πᾶσαν τήν γῆν ἡ δόξα σου (ἐκ γ´).

Εἶτα ἀποθέτει τό θυμιατόν, καί δίδει εἰς τόν Διάκονον τό ἅγιον Δισκάριον μέ τά καλύμματα, μή ὑπάρχοντος ὅμως τοῦ Διακόνου, λαμβάνει ὁ ἴδιος τό ἅγιον Δισκάριον καί τό ἅγιον Ποτήριον, καί λέγει μυστικῶς·

Εὐλογητός ὁ Θεός ἡμῶν.

Εἶτα στραφείς πρός τόν Λαόν λέγει ἐκφώνως·

Πάντοτε νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα ὁ Διάκονος ἐξερχόμενος, στάς ἐν τῷ συνήθει τόπῳ, λέγει.

Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων ἐπουρανίων καί ζωοποιῶν φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως, εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον αἰτησάμενοι, ἑαυτούς, καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα. (Καί εἰσέρχεται ἐν τῷ Ἱερῷ).

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς διπλώνει τό Ἀντιμήνσιον, βάζοντας τήν μοῦσα μέσα εἰς αὐτό, καί διαβάζει μυστικῶς τήν εὐχήν·

Εὐχαριστοῦμεν σοι, Κύριε, ὁ Θεός ἡμῶν, ἐπί τῇ μεταλήψει τῶν ἁγίων, ἀχράντων, ἀθανάτων, καί ἐπουρανίων σου μυστηρίων, ἅ ἔδωκας ἡμῖν ἐπ᾽ εὐεργεσίᾳ, καί ἁγιασμῷ, καί ἰάσει τῶν ψυχῶν, καί τῶν σωμάτων ἡμῶν. Αὐτός, Δέσποτα τῶν ἁπάντων, δός γενέσθαι ἡμῖν τήν κοινωνίαν τοῦ ἁγίου σώματος καί αἵματος τοῦ Χριστοῦ σου, εἰς πίστιν ἀκαταίσχυντον, εἰς ἀγάπην ἀνυπόκριτον, εἰς πλησμονήν σοφίας, εἰς ἴασιν ψυχῆς καί σώματος, εἰς ἀποτροπήν παντός ἐναντίου, εἰς περιποίησιν τῶν

ἐντολῶν σου, εἰς ἀπολογίαν εὐπρόσδεκτον, τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ σου.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι σύ εἶ ὁ ἁγιασμός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, λαμβάνει τό ἅγιον Εὐαγγέλιον, ποιεῖ δι᾽ αὐτοῦ Σταυρόν καί ἀποθέτει αὐτό ἐπί τοῦ διπλωθέντος Ἀντιμηνσίου, εἶτα στρεφόμενος πρός τόν λαόν ἐκφωνεῖ·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Εἶτα ὁ Ἱερεύς ἐξελθών τῆς Ὡραίας Πύλης, καί στάς ἔμπροσθεν τῆς Δεσποτικῆς εἰκόνος τοῦ Χριστοῦ, λέγει τήν ὀπισθάμβωνον Εὐχήν·

Ὁ θυσίαν αἰνέσεως καί λατρείαν εὐάρεστον, τήν λογικήν ταύτην καί ἀναίμακτον θυσίαν προσδεχόμενος παρά τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, Χριστέ ὁ Θεός ἡμῶν, ὁ Ἀμνός καί Υἱός τοῦ Θεοῦ, ὁ αἴρων τήν ἁμαρτίαν τοῦ κόσμου· ὁ μόσχος ὁ ἄμωμος, ὁ μή δεχόμενος ἁμαρτίας ζυγόν καί τυθείς δι᾽ ἡμᾶς ἑκών· ὁ μελιζόμενος καί μή διαιρούμενος, ὁ ἐσθιόμενος καί μηδέποτε δαπανώμενος, τούς δέ ἐσθίοντας ἁγιάζων· ὁ εἰς ἀνάμνησιν τοῦ ἑκουσίου πάθους σου, καί τῆς ζωοποιοῦ τριημέρου ἐγέρσεώς σου, κοινωνούς ἡμᾶς ἀναδείξας τῶν ἀρρήτων καί ἐπουρανίων καί φρικτῶν σου μυστηρίων, τοῦ ἁγίου σου σώματος καί τοῦ τιμίου σου αἵματος· τήρησον ἡμᾶς τούς δούλους σου, τούς διακόνους, [καί τούς πιστούς ἡμῶν βασιλεῖς], καί τόν φιλόχριστον στρατόν, καί

τόν περιεστῶτα λαόν, ἐν τῷ σῷ ἁγιασμῷ. Καί δός ἡμῖν ἐν παντί χρόνῳ καί καιρῷ μελετᾷν τήν σήν δικαιοσύνην, ὅπως, πρός τό σόν θέλημα ὁδηγηθέντες καί τά εὐάρεστά σοι ποιήσαντες, ἄξιοι γενώμεθα καί τῆς ἐκ δεξιῶν σου παραστάσεως, ὅταν ἐλεύσῃ κρῖναι ζῶντας καί νεκρούς. Τούς ἐν αἰχμαλωσίᾳ ἀδελφούς ἡμῶν ἀνάρρυσαι, τούς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, τούς ἐν κινδύνοις θαλάσσης κυβέρνησον, καί τάς προαναπαυσαμένας ψυχάς ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου ἀνάπαυσον, ὅπου ἐπισκοπεῖ τό φῶς τοῦ προσώπου σου, καί πάντων τῶν δεομένων τῆς σῆς βοηθείας ἐπάκουσον. Ὅτι σύ εἶ ὁ δοτήρ τῶν ἀγαθῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν, καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ἤ τήν παροῦσαν εὐχήν·

Ὁ εὐλογῶν τούς εὐλογοῦντάς σε Κύριε, καί ἁγιάζων τούς ἐπί σοί πεποιθότας, σῶσον τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σου. Τό πλήρωμα τῆς Ἐκκλησίας σου φύλαξον· ἁγίασον τούς ἀγαπῶντας τήν εὐπρέπειαν τοῦ οἴκου σου· Σύ αὐτούς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καί μή ἐγκαταλίπῃς ἡμᾶς τούς ἐλπίζοντας ἐπί σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς Ἐκκλησίαις σου, τοῖς Ἱερεῦσι, [τοῖς βασιλεῦσιν ἡμῶν], τῷ στρατῷ καί παντί τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθή καί πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ Πατρός τῶν φώτων· καί σοί τήν δόξαν καί εὐχαριστίαν καί προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Εἶτα οἱ δύο Χοροί, ψάλλουν ἐναλλάξ τό·

Εἴη τό ὄνομα Κυρίου εὐλογημένον, ἀπό τοῦ νῦν καί ἕως τοῦ αἰῶνος. (γ΄)

Ὁ δέ Ἱερεύς ἐν τῇ ἱερά Προθέσει λέγει μυστικῶς τήν Εὐχήν ἐν τῷ συστεῖλαι τά ἅγια.

Ἥνυσται καί τετέλεσται, ὅσον εἰς τήν ἡμετέραν δύναμιν, Χριστέ, ὁ Θεός ἡμῶν, τό τῆς σῆς οἰκονομίας μυστήριον. Ἔσχομεν γά τοῦ θανάτου σου τήν μνήμην· εἴδομεν τῆς ἀναστάσεώς σου τόν τύπον· ἐνεπλήσθημεν τῆς ἀτελευτήτου σου ζωῆς· ἀπηλαύσαμεν τῆς ἀκενώτου σου τρυφῆς, ἧς καί ἐν τῷ μέλλοντι αἰῶνι πάντας ἡμᾶς καταξιωθῆναι εὐδόκησον. Χάριτι τοῦ ἀνάρχου σου Πατρός καί τοῦ ἁγίου καί ἀγαθοῦ καί ζωοποιοῦ σου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς ἐξερχόμενος εὐλογεῖ τόν Λαόν, λέγων·

Εὐλογία Κυρίου καί ἔλεος αὐτοῦ ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καί φιλανθρωπίᾳ, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, ἐκφώνως·

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπίς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης·

Δόξα Πατρί καί Υἱῷ καί ἁγίῳ Πνεύματι. Καί νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε, ἐλέησον (γ΄). Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς ποιεῖ τήν μεγάλην ἀπόλυσιν· καί ἐάν μέν εἶναι Κυριακή λέγει· Ὁ ἀναστάς ἐκ νεκρῶν, ἤ τό χαρακτηριστικόν τῆς Δεσποτικῆς ἑορτῆς, εἰ δέ μή, ἁπλῶς·

Χριστός ὁ ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καί παναμώμου ἁγίας αὐτοῦ Μητρός·

δυνάμει τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καί βαπτιστοῦ Ἰωάννου, (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστι προφήτης)· τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων· (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστιν ἀπόστολος)· τῶν ἐν ἁγίοις πατέρων ἡμῶν μεγάλων ἱεραρχῶν καί οἰκουμενικῶν διδασκάλων, (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστιν ἱεράρχης)· τοῦ ἐν ἁγίοις πατρός ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας, οὐρανοφάντορος τοῦ Μεγάλου· τῶν ἁγίων, ἐνδόξων καί καλλινίκων Μαρτύρων· (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστι μάρτυς)· τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν, (τοῦ ἁγίου τοῦ ναοῦ εἴ ἐστιν ὅσιος)· τῶν ἁγίων καί δικαίων θεοπατόρων Ἰωακείμ καί Ἄννης, (τοῦ ἁγίου τῆς ἡμέρας, εἴ ἐστι μέγας), οὗ καί τήν μνήμην ἐπιτελοῦμεν, καί πάντων τῶν Ἁγίων, ἐλεῆσαι καί σῶσαι ἡμᾶς, ὡς ἀγαθός καί φιλάνθρωπος καί ἐλεήμων Θεός.

Εἶτα ὁ Ἱερεύς λέγει·

Δι᾿ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐλέησον ἡμᾶς.

Οἱ Χοροί καί ὅλος ὁ λαός. Ἀμήν.

Ὁ Ἱερεύς εὐλογῶν τόν λαόν, λέγει·

Ἡ ἁγία Τριάς διαφυλάξοι πάντα ὑμᾶς.

Καί ὁ λαός ἀντεύχεται αὐτῷ λέγων.

Τόν εὐλογοῦντα καί ἁγιάζοντα ἡμᾶς, Κύριε φύλαττε εἰς πολλά ἔτη.

Ὁ δέ Ἱερεύς ἐπευχόμενος καί εὐλογῶν τούς εὐσεβεῖς, λέγει.

Φυλάξαι Κύριος ὁ Θεός πάντας ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καί φιλανθρωπία, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ὁ Ἱερεύς, διανέμει τό Ἀντίδωρον εἰς τούς πιστούς. Ὁ δέ Διάκονος εἰσέρχεται εἰς τήν ἁγίαν Πρόθεσιν, καί προσκυνήσας τρίς συστέλλει τά Ἅγια μετά φόβου καί πάσης εὐλαβείας. Εἰς τήν συνέχειαν δέ ἀναγινώσκει καί τήν Εὐχαριστίαν μετά τήν θείαν Μετάληψιν, (βλέπε εἰς τήν σελ. 114 τοῦ παρόντος). Μή ὑπάρχοντος ὅμως τοῦ Διακόνου, ἡ συστολή γίνεται ἀπό τόν Ἱερέα.

Εἶτα ὁ Ἱερεύς ἀποδυσάμενος τήν ἱερατικήν του στολήν λέγει·

**Ν**ῦν ἀπολύεις τόν δοῦλόν σου, Δέσποτα, κατά τό ῥῆμα σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τό σωτήριόν σου, ὅ ἡτοίμασας κατά πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καί δόξαν λαοῦ σου Ἰσραήλ.

Εἶτα λέγει, τό Τρισάγιον κ. λ. π., τό Ἀπολυτίκιον τοῦ Ἁγίου τῆς ἡμέρας καί τό Θεοτοκίον, τοῦ Ναοῦ καί τοῦ ἁγίου Βασιλείου.

**Ε**ἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τόν λόγον σου, δι᾽ οὗ θεοπρεπῶς ἐδογμάτισας· τήν φύσιν τῶν ὄντων ἐτράνωσας, τά τῶν ἀνθρώπων ἤθη κατεκόσμησας, βασίλειον ἱεράτευμα, πάτερ ὅσιε, Χριστόν τόν Θεόν ἱκέτευε, δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Τό Κοντάκιον τοῦ ἁγίου Βασιλείου.

Ὤφθης βάσις ἄσειστος τῇ Ἐκκλησίᾳ, νέμων πᾶσιν ἄσυλον, τήν κυριότητα βροτοῖς, ἐπισφραγίζων σοῖς δόγμασιν, οὐρανοφάντορ Βασίλειε ὅσιε.

Καί τό·

Οὐρανός πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τούς πιστούς, ἐν ᾧ ἑστῶτες κραυγάζομεν. Τοῦτον τόν Οἶκον στερέωσον, Κύριε.

Κύριε, ἐλέησον (ιβ΄). Δόξα. Καί νῦν. Τήν τιμιωτέραν τῶν Χερουβείμ.... Καί ποιεῖ τήν Ἀπόλυσιν ὡς συνήθως, εἶτα ἀσπάζεται τήν ἁγίαν Τράπεζαν καί λέγει τό· Δι᾽ εὐχῶν..... καί ἐξέρχεται ἐκ τοῦ Ναοῦ.

# H UEIA

# LEITOYRGIA

# TOY EN AGIOIS PATROS HMVN

# GRHGORIOY TOY DIALOGOY


Ο ΑΓ. ΘΕΟΦΑΝΗΣ
ΣΙΓΡΙΑΝΗΣ
Ο ΑΓ. ΓΡΗΓΟΡΙΟΣ
ο διάλογος
Ο ΑΓ. ΣΥΜΕΩΝ
ο νέος

# H UEIA LSITOYR -
# TOY EN AGIOIS PATROS HMVN
# GRHGORIOY TOY DIALO -

Λέγεται ἡ Λειτουργία αὔτη τῶν προηγιασμένων· διότι δέν δέχεται ἄλλην τῶν δώρων μετουσίωσιν, εἰμή μόνον ἀνάμνησιν τῆς λειτουργίας πρός ἁγιασμόν τῶν πιστῶν, ἐν ᾗ ὁ ἱερεύς προσφέρει τό ὁποῖον ἔχει πεφυλαγμένον ἐν τῷ ἁγίῳ ἀρτοφορίῳ σῶμα τοῦ Χριστοῦ, βεβαμμένον μέ τό τίμιον αἷμα ἀπό λειτουργίας τελειωθείσης. Τελεῖται δέ ἡ λειτουργία αὔτη τάς Τετράδας καί Παρασκευάς τῆς ἁγίας Τεσσαρακοστῆς, αἵτινές λέγονται ἡμέραι πάθους· διότι τήν μέν τετάρτη ἐγένετο τό συμβούλιον τῶν Ἰουδαίων διά τήν προδοσίαν τοῦ Χριστοῦ, τήν δέ παρασκευήν ἐσταύρωσαν αὐτόν· ὅθεν δέν λέγομεν οὔτε ἀπόστολον οὖτε εὐαγγέλιον, ἀλλ' ἀντ' αὐτῶν λέγει ὁ ἱερεύς τό, "Σοφία ὀρθοί, φῶς Χριστοῦ φαίνει πᾶσι·" δηλαδή ἐθυσιάσθη πρότερον ὁ Ἀμνός, καί τό ἀληθινόν φῶς, ὁ Ἀμνός αὐτοῦ τοῦ Θεοῦ, λάμπει εἰς ὅλους. Τελεῖται δέ ἡ λειτουργία αὔτῃ καί εἰς ἄλλας ἡμέρας τῆς τεσσαρα- κοστῆς (πλήν Σαββάτων καί Κυριακῶν), ὅταν τελῆται μνήμη ἑορταζομένων ἁγίων.

## ΕΡΜΗΝΕΙΑ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ ΑΥΤΗΣ

Εἰς τήν προσκομιδήν τῆς Κυριακῆς, ἤ τοῦ Σαββάτου, ἀφ' οὗ περικόψῃ ὁ ἱερεύς τόν ἄρτον καί τόν κεντήσῃ περικόπτει τόσους ἄλλους, ὅσων θέλει λάβει ἀνάγκην ἐντός τῆς ἑβδομάδος, καί λέγει εἰς ἕνα ἕκαστον τό, εἰς ἀνάμνησιν... ὡς πρόβατον... Θύεται... καί τό, εἷς τῶν στρατιωτῶν... Εἶτα ἐγ-

χέει ἐν τῷ ἁγίῳ ποτηρίῳ οἶνον καί ὕδωρ, λέγων τά συνήθη, καί καλύψας αὐτά ἄρχεται τῆς θείας λειτουργίας.

Ὅταν δέ μέλλῃ νά σφραγίσῃ τούς ἄρτους ἐν τῇ ἁγίᾳ τραπέζῃ λέγει· ποίησον τόν μέν ἄρτον τοῦτον, ἑνικῶς· διότι εἷς εἶναι ὁ Χριστός, καί ὄχι ὥς τινες λέγουσι, τούς ἄρτους τούτους· καί ὅτε μέλλει νά ὑψώσῃ, ὑψοῖ ὅλους ὁμοῦ, καί μελίζει τόν προσκομιζόμενον πρῶτον ἄρτον, καί τίθησι τήν μερίδα ἐν τῷ ἁγίῳ Ποτηρίῳ καί ἐγχέει καί τό ζέον· εἶτα, λαβών τήν ἁγίαν λαβίδα μέ τήν δεξιάν χεῖρα, βάφει αὐτήν ἐν τῷ ἁγίῳ αἵματι, καί μέ τήν ἀριστεράν λαμβάνει ἕκαστον ἄρτον, καί ἐγγίζει σταυροειδῶς είς αὐτούς είς τό χάραγμα τοῦ Σταυροῦ πρός τήν ψίχαν τήν λαβίδα μετά τοῦ ἁγίου αἵματος βεβαμμένην· τό αὐτό δέ ποιεῖ καί είς τούς ἄλλους ἄρτους, ὅσους ἔχει, ἵνα λειτουργίσῃ κατά τάς ἡμέρας τῆς ἑβδομάδος, καί τούς θέτει εἰς τό ἀρτοφόριον. Προκειμένου δέ νά μεταλάβῃ ὁ ἱερεύς τινα ἐξ αὐτοῦ πρέπει νά λάβῃ μερίδα ἐκ τοῦ χαράγματος, ἔνθα ἐστί βεβαμμένος ὁ ἄρτος μετά τοῦ τιμίου αἵματος. Μέ τμῆμα δέ μόνον τοῦ ἁγίου ἄρτου δέν πρέπει ποτέ ὁ ἱερεύς νά λειτουργήσῃ προηγιασμένην· διότι εἶναι ἀνάγκη νά εἶναι ὁλόκληρος ὁ ἅγιος ἄρτος, ἵνα μελισθῇ.

Ὅταν δέ τελῆται ἡ ἱερουργία, μετά τό, Εὐλογημένη ἡ Βασιλεία, λέγεται τό, Δεῦτε προσκυνήσωμεν, ὁ Προοιμιακός, αἱ εὐχαί τοῦ λυχνικοῦ κατά τά διατεταγμένα, ἡ μεγάλη συναπτή, τά, Πρός Κύριον, καί ἐν ἑκάστῳ ἀντιφώνῳ γίνονται καί τρεῖς μικραί συναπταί. Ἅμα ἀρχίσῃ ἡ στιχολογία, ἔρχεται ὁ ἱερεύς εἰς τήν ἁγίαν Πρόθεσιν, λαμβάνει τόν προηγιασμένον ἄρτον ἐκ τοῦ ἀρτοφορίου, θέτει αὐτόν εἰς τό δισκάριον μετ' εὐλαβείας, βάλλει εἰς τό ἅγιον Ποτήριον οἶνον καί ὕδωρ, λέγων μόνον τό, δι' εὐχῶν τῶν ἁγίων Πατέρων κτλ. καί οὐδέν ἄλλο, καί καλύπτει αὐτά διά τοῦ δι' εὐχῶν.

Ἔπειτα ἀφ' οὗ ψαλῇ τό ἰδιόμελον, τό μαρτυρικόν, τά τρία προσόμοια τοῦ τριῳδίου, τά τοῦ μηναίου, τό, Δόξα, καί νῦν· εἰσοδεύει ὁ ἱερεύς ἄνευ Εὐαγγελίου, ἐκτός ἐάν εἶναι ἑορτή τοῦ ἁγίου Χαραλάμπους, τῶν ἁγίων τεσσαράκοντα Μαρτύρων, ἤ ἄλλη τις, καθώς καί τήν μεγάλην ἑβδομάδα, ὅτε εἰσοδεύει μέ τό Εὐαγγέλιον. Κατόπιν, Φῶς ἱλαρόν, πρόσχωμεν, τό προκείμενον εἰς τήν Γένεσιν, τό δεύτερον προκείμενον, καί μετά τοῦτο ἐκφωνεῖται ὑπό τοῦ διακόνου, ἤ τοῦ ἀναγνώστου, τό, Κελεύσατε. Ὁ δέ ἱερεύς λαβών τῇ δεξιᾷ χειρί τό θυμιατόν καί λαμπάδα ἵσταται ἐνώπιον τῆς ἁγίας Τραπέζης, καί σφραγίζων Σταυρόν λέγει· Σοφία, ὀρθοί. Ἔπειτα, στραφείς πρός τόν λαόν, λέγει Φῶς Χριστοῦ φαίνει πᾶσιν· εἶτα ὁ ἀναγνώστης· Παροιμιῶν τό ἀνάγνωσμα· καί μετά τήν ἀνάγνωσιν αὐτῶν, ψάλλει ὁ ἱερεύς τό, Κατευθυνθήτω· μετά τήν συμπλήρωσιν τοῦ ὁποίου, θυμιᾷ, καί λέγει τούς στίχους, ἐν ᾧ ἐπαναλαμβάνουσι τοῦτο οἱ ἔξωθεν χοροί. Τελευταῖον δ' ἐπαναλαμβάνει τοῦτο καί αὐτός ὁ ἱερεύς μέχρι τοῦ, ὡς θυμίαμα ἐνώπιόν σου, καί αὐτός μέν θυμιᾷ τόν λαόν ἐκ τῶν βημοθύρων, τό δέ, Ἔπαρσις τῶν χειρῶν μου κλπ. ἀναπληροῦσιν οἱ χοροί· εἰς δέ τήν μεγάλην εἴσοδον ἀντί τοῦ Χερουβικοῦ, ψάλλεται τό,

Νῦν αἱ Δυνάμεις κτλ.

Ὅταν δέ μέλλῃ νά ὑψώσῃ τόν ἅγιον ἄρτον δέν ἀποκαλύπτει τά ἅγια, ἀλλά μέ πολύν φόβον εἰσάγει τήν χεῖρά του, καί ἁπτόμενου τοῦ ἁγίου ἄρτου λέγει·

Πρόσχωμεν, τά προηγιασμένα ἅγια τοῖς ἁγίοις.

Κοινωνικόν,

Γεύσασθε καί ἴδετε κτλ.

Ἀντί τοῦ, Εἴδομεν τό φῶς· λέγεται τό, Εὐλογήσω τόν Κύριον κτλ.

(ἐλήφθη ἐκ τῆς Λειτ. φυλλάδας Βογιατζῆ)

Ὁ Διάκονος ἐξέρχεται τοῦ Βήματος, καί στάς ἐν τῷ συνήθει τόπῳ του, προσκυνήσας δέ τρίς, λέγει·

Εὐλόγησον, Δέσποτα·

Ὁ δέ Ἱερεύς ὑψῶν τό Εὐαγγέλιον λέγει ἐκφώνως·

**Ε**ὐλογημένη ἡ Βασιλεία τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων·

(ποιῶν δ' ἐν τῷ λέγειν σταυρόν διά τοῦ Εὐαγγελίου).

Ὁ Χορός· Ἀμήν.

Μετά δέ τόν Προοιμιακόν ψαλμόν, ὁ διάκονος ἐξελθών τοῦ βήματος λέγει τά ἑπόμενα Εἰρηνικά. Ὁ δέ Χορός τό, Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν καί τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ Ἁγίου Οἴκου τούτου καί τῶν μετά πίστεως, εὐλαβείας καί φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) τοῦ τιμίου πρεσβυτερίου τῆς ἐν Χριστῷ Διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ συμπολεμῆσαι καί ὑποτάξαι ὑπό τό κράτος αὐτοῦ, πάντα ἐχθρόν καί πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς ἁγίας Μονῆς ταύτης, (ἤ Ἐκκλησίας) πάσης πόλεως, χώρας, καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καί καιρῶν εἰρηνικῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καί τῆς σωτηρίας αὐτῶν τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως ὀργῆς, κινδύνου καί ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς ὁ Θεός τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα ἀναγινώσκονται τά, Πρός Κύριον κτλ. κάθισμα ΙΗ΄ 18 τοῦ Ψαλτηρίου εἰς τρεῖς στάσεις.

## ΕΥΧΗ ΤΗΣ Α΄ ΣΤΑΣΕΩΣ,
## ἥν λέγει ὁ Ἱερεύς μυστικῶς.

**Κ**ύριε, οἰκτίρμον καί ἐλεῆμον, μακρόθυμε καί πολυέλεε, ἐνώτισαι τήν προσευχήν ἡμῶν καί πρόσχες τῇ φωνῇ τῆς δεήσεως ἡμῶν· ποίησον μεθ᾽ ἡμῶν σημεῖον εἰς ἀγαθόν· ὁ-

δήγησον ἡμᾶς ἐν τῇ ὁδῷ Σου, τοῦ πορεύεσθαι ἐν τῇ ἀληθείᾳ Σου· εὔφρανον τάς καρδίας ἡμῶν εἰς τό φοβεῖσθαι τό Ὄνομά Σου τό Ἅγιον· διότι μέγας εἶ Σύ καί ποιῶν θαυμάσια. Σύ εἶ Θεός ἡμῶν, καί οὐκ ἔστιν ὅμοιός Σοι ἐν θεοῖς, Κύριε· δυνατός ἐν ἐλέει καί ἀγαθός ἐν ἰσχύϊ εἰς τό βοηθεῖν καί παρακαλεῖν καί σῴζειν πάντας τούς ἐλπίζοντας εἰς τό Ὄνομά σου τό ἅγιον.

Μετά τό, Δόξα Πατρί, τῆς α΄ στάσεως τῶν ψαλμῶν λέγει ὁ διάκονος·

Ἔτι καί ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός τῇ Σῇ χάριτι.

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, κύριε.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι σόν τό Κράτος, καί σοῦ ἐστιν ἡ βασιλεία, καί ἡ δύναμις, καί ἡ δόξα, τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ Ἁγίου Πνεύματος, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

## ΕΥΧΗ ΤΗΣ Β΄ ΣΤΑΣΕΩΣ,
ἥν λέγει ὁ Ἱερεύς μυστικῶς.

Κύριε μή τῷ θυμῷ Σου ἐλέγξῃς ἡμᾶς, μηδέ τῇ ὀργῇ Σου παιδεύσῃς ἡμᾶς· ἀλλά ποίησον μεθ᾽ ἡμῶν κατά τήν ἐπιείκειάν Σου, ἰατρέ καί θεραπευτά τῶν ψυχῶν ἡμῶν, ὁδηγῶν ἡμᾶς ἐπί λιμένα θελήματός Σου. Φώτισον τούς ὀφθαλμούς τῶν καρδιῶν ἡμῶν εἰς ἐπίγνωσιν τῆς Σῆς ἀληθείας· καί δώρησαι ἡμῖν τό λοιπόν τῆς παρούσης ἡμέρας εἰρηνι-

κόν καί πάντα τόν χρόνον τῆς ζωῆς ἡμῶν. Πρεσβείαις τῆς ἁγίας Θεοτόκου καί πάντων τῶν ῾Αγίων Σου.

Μετά τό, Δόξα Πατρί, τῆς β΄ στάσεως τῶν ψαλμῶν λέγει ὁ διάκονος·

Ἔτι καί ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

᾿Αντιλαβοῦ σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός τῇ Σῇ χάριτι.

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ῾Αγίων μνημονεύσαντες, ἑαυτούς, καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

῾Ο Χορός· Σοί, κύριε.

Ὁ δέ Ἱερεύς ἐκφώνως·

Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΤΗΣ Γ΄ ΣΤΑΣΕΩΣ,

ἥν λέγει ὁ Ἱερεύς μυστικῶς·

**Κ**ύριε ὁ Θεός ἡμῶν, μνήσθητι ἡμῶν τῶν ἁμαρτωλῶν καί ἀχρείων δούλων σου, ἐν τῷ ἐπικαλεῖσθαι ἡμᾶς τό ἅγιον καί προσκυνητόν ὄνομά σου, καί μή καταισχύνῃς ἡμᾶς ἀπό τῆς προσδοκίας τοῦ ἐλέους σου· ἀλλά χάρισαι ἡμῖν, ὁ Θεός, πάντα τά πρός σωτηρίαν αἰτήματα, καί ἀξίωσον ἡμᾶς ἀγαπᾶν καί φοβεῖσθαί σε ἐξ ὅλης καρδίας ἡμῶν καί ποιεῖν ἐν πᾶσι τό θέλημά σου.

Μετά τό, Δόξα Πατρί, τῆς γ΄ στάσεως τῶν ψαλμῶν λέγει ὁ διάκονος·

Ἔτι καί ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός τῇ Σῇ χάριτι.

Τῆς Παναγίας ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτούς, καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, κύριε.

Ὁ δέ Ἱερεύς ἐκφώνως·

Ὅτι σύ εἶ ὁ Θεός ἡμῶν, Θεός τοῦ ἐλεεῖν καί σῴζειν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Μετά τό, Κύριε ἐκέκραξα κτλ. ψάλλει ὁ χορός τό Ἰδιόμελον τῆς ἡμέρας δίς, τό Μαρτυρικόν, τά τρία προσόμοια τοῦ Τριῳδίου, καί τοῦ μηναίου ἕτερα τέσσαρα. Εἰς δέ τό Δοξαστικόν ἐξέρχεται ὁ ἱερεύς, σύν τῷ διακόνῳ μετά τοῦ θυμιατοῦ, καί ποιεῖ εἴσοδον, ἐν ᾗ λέγει.

Ὁ Ἱερεύς μυστικῶς·

Ἑσπέρας καί πρωΐ καί μεσημβρίας, αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν καί δεόμεθά Σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε, Κύριε. Κατεύθυνον τήν προσευχήν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν Σου· καί μή ἐκκλίνῃς τάς καρδίας ἡμῶν εἰς λόγους ἤ εἰς λογισμούς πονηρίας, ἀλλά ρῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τάς ψυχάς ἡμῶν· ὅτι πρός Σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί ἡμῶν καί ἐπί Σοί ἠλπίσαμεν· μή καταισχύνῃς ἡμᾶς, ὁ Θεός ἡμῶν. Ὅτι πρέπει Σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰώνας τῶν αἰώνων Ἀμήν.

Εἶτα εὐλογῶν ὁ ἱερεύς τήν εἴσοδον λέγει μυστικῶς·

Εὐλογημένη ἡ Εἴσοδος τῶν ἁγίων σου, πάντοτε, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δέ Διάκονος ἐκφωνεῖ τό,

Σοφία, Ὀρθοί.

Καί μετά τήν συμπλήρωσιν τῆς Γενέσεως, ὁ ἱερεύς κρατῶν λαμπάδα καί τό θυμιατόν μέ τήν δεξιάν χεῖρα ποιεῖ σταυρόν μετά τοῦ θυμιατοῦ καί τῆς λαμπάδος ἔμπροσθεν τῆς ἁγίας Τραπέζης καί ἐκφωνεῖ τό,

Σοφία, Ὀρθοί.

Εἶτα ἐπιστρέφει πρός τόν λαόν, ἐκφωνῶν τό,

Φῶς Χριστοῦ φαίνει πᾶσι.

Μετά δέ τήν συμπλήρωσιν τῆς Παροιμίας, ψάλλει ὁ ἱερεύς ἐκ τοῦ βήματος τό, Κατευθυνθήτω κτλ. ἅπαξ, καί ἐκ τῶν χορῶν ἀνά δύο, καί πάλιν ἐπαναλαμβάνει ὁ ἱερεύς ψάλλων τό, Κατευθυνθήτω, θυμιάζει συνάμα τήν ἁγίαν Τράπεζαν, τάς Εἰκόνας καί τόν Λαόν· εἶτα ὁ χορός ψάλλει τό τέλος, τό, Ἔπαρσις τῶν χειρῶν μου κτλ.

Εἶτα λέγει τήν Ἐκτενῆ ὁ διάκονος·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καί ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Ὁ Χορός τό, Κύριε ἐλέησον.

Κύριε Παντοκράτορ, ὁ Θεός τῶν Πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατά τό μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καί ἐλέησον.

## ΕΥΧΗ ΤΗΣ ΕΚΤΕΝΟΥΣ ΙΚΕΣΙΑΣ,
ἥν λέγει ὁ Ἱερεύς μυστικῶς.

Κύριε ὁ Θεός ἡμῶν τήν ἐκτενῆ ταύτην ἱκεσίαν πρόσδεξαι παρά τῶν σῶν δούλων, καί ἐλέησον κατά τό πλῆθος τοῦ ἐλέους σου· καί τούς οἰκτιρμούς σου κατάπεμψον ἐφ᾽

ἡμᾶς, καί ἐπί πάντα τόν λαόν σου, τόν ἀπεκδεχόμενον τό παρά σοῦ πλούσιον ἔλεος.

Ὁ δέ Διάκονος ἐκφώνως·

Ἔτι δεόμεθα ὑπέρ τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπέρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, καί Μοναχῶν, καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καί ἀοιδίμων κτητόρων τῆς ἁγίας Ἐκκλησίας (ἤ Μονῆς) ταύτης, καί ὑπέρ πάντων τῶν προαναπαυσαμένων πατέρων καί ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καί ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων Χριστιανῶν, ἐνοριτῶν, ἐπιτρόπων καί συνδρομητῶν τοῦ ἁγίου Ναοῦ τούτου.

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων, καί καλλιεργούντων ἐν τῷ ἁγίῳ καί πανσέπτῳ Ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καί ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τό παρά σοῦ μέγα καί πλούσιον ἔλεος.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ἐνταῦθα λαμβάνει ὁ ἱερεύς τό ἅγιον Εὐαγγέλιον καί ποιεῖ σταυρόν ἐπάνω τοῦ ἁγίου ἀντιμινσίου.

Ὁ δέ Διάκονος·

Εὔξασθε οἱ κατηχούμενοι, τῷ Κυρίῳ.

Οἱ πιστοί ὑπέρ τῶν κατηχουμένων δεηθῶμεν.

Ἵνα ὁ Κύριος αὐτούς ἐλεήσῃ.

Κατηχήσῃ αὐτούς τόν λόγον τῆς ἀληθείας.

Ἀποκαλύψῃ αὐτοῖς τό Εὐαγγέλιον τῆς δικαιοσύνης.

Ἑνώσῃ αὐτούς τῇ ἁγίᾳ αὐτοῦ Καθολικῇ καί ἀποστολικῇ Ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καί διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ κατηχούμενοι, τάς κεφαλάς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

## ΕΥΧΗ ΤΩΝ ΚΑΤΗΧΟΥΜΕΝΩΝ,

πρό τοῦ ἁπλωθῆναι τό Εἱλητόν, ἥν λέγει ὁ ἱερεύς μυστικῶς·

Ὁ Θεός, ὁ Θεός ἡμῶν, ὁ Κτίστης καί δημιουργός τῶν ἁπάντων, ὁ πάντας θέλων σωθῆναι καί εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ἐπίβλεψον ἐπί τούς δούλους σου τούς κατηχουμένους καί λύτρωσαι αὐτούς τῆς παλαιᾶς πλάνης καί τῆς μεθοδίας τοῦ ἀντικειμένου· καί προσκάλεσον αὐτούς εἰς τήν ζωήν τήν αἰώνιον, φωτίζων αὐτῶν τάς ψυχάς καί τά σώματα, καί συγκαταριθμῶν αὐτούς τῇ λογικῇ Σου ποίμνῃ, ἐφ᾿ ἥν τό Ὄνομά Σου τό Ἅγιον ἐπικέκληται.

Ὁ Ἱερεύς ἐκφώνως·

Ἵνα καί αὐτοί σύν ἡμῖν δοξάσωσι τό πάντιμον καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ Ἁγίου Πνεύματος, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Καί ἐξαπλοῖ τό εἱλητόν συγχρόνως.

Ὁ δέ Διάκονος·

Ὅσοι Κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων. Ὅσοι πιστοί.

Ἔτι καί ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ταῦτα μόνα λέγονται μέχρι τῆς Τρίτης τῆς δ΄ ἑβδομάδος τῶν Νηστειῶν. Ἀπό δέ τῆς Τετάρτης τῆς Μεσονηστίμου, μετά τό, Ἵνα καί αὐτοί, κτλ. λέγονται παρά τοῦ διακόνου καί τά ἑπόμενα·

Ὅσοι κατηχούμενοι, προέλθετε· οἱ κατηχούμενοι προέλθετε. Ὅσοι πρός τό φώτισμα, προέλθετε εὔξασθε οἱ πρός τό φώτισμα· τοῦ Κυρίου δεηθῶμεν.

Οἱ πιστοί ὑπέρ τῶν πρός τό ἅγιον φώτισμα εὐτρεπιζομένων ἀδελφῶν, καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεός ἡμῶν στηρίξῃ αὐτούς κα ἐνδυναμώσῃ, τοῦ Κυρίου δεηθῶμεν.

Φωτίσῃ αὐτούς φωτισμῷ γνώσεως καί εὐσεβείας, τοῦ Κυρίου δεηθῶμεν.

Καταξιώσῃ αὐτούς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσως τῶν ἁμαρτιῶν, καί τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, τοῦ Κυρίου δεηθῶμεν.

Ἀναγεννήσῃ αὐτούς δι᾽ Ὕδατος καί Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Χαρίσηται αὐτοῖς τήν τελειότητα τῆς Πίστεως, τοῦ Κυρίου δεηθῶμεν.

Συγκαταριθμήσῃ αὐτούς τῇ ἁγίᾳ αὐτοῦ καί ἐκλεκτῇ ποίμνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ καί διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

Οἱ πρός τό Φώτισμα τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίνατε.

## ΕΥΧΗ

ὑπέρ τῶν πρός τό ἅγιον φώτισμα εὐτρεπιζομένων, λεγομένη ἀπό τῆς Τετάρτης τῆς Μεσονηστίμου παρά τοῦ ἱερέως μυστικῶς·

Ἐπίφανον, Δέσποτα, τό πρόσωπόν σου ἐπί τούς πρός τό ἅγιον φώτισμα εὐτρεπιζομένους καί ἐπιποθοῦντας τόν τῆς ἁμαρτίας μολυσμόν ἀποτινάξασθαι· καταύγασον αὐτῶν τήν διάνοιαν· βεβαίωσον αὐτούς ἐν τῇ πίστει· στήριξον ἐν ἐλπίδι, τελείωσον ἐν ἀγάπῃ· μέλη τίμια τοῦ Χριστοῦ ἀνάδειξον, τοῦ δόντος ἑαυτόν ἀντίλυτρον ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα ἐκφώνως·

Ὅτι σύ εἶ ὁ φωτισμός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ὅσοι πρός τό φώτισμα, προέλθετε· οἱ πρός τό φώτισμα προέλθετε.

Ὅσοι κατηχούμενοι, προέλθετε· μή τις τῶν κατηχουμένων. Ὅσοι πιστοί.

Ἔτι καί ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἕως ὧδε τά ἀπό τῆς Τετάρτης τῆς Μεσονηστίμου.

## ΕΥΧΗ ΠΙΣΤΩΝ Α΄

μετά τό ἁπλωθῆναι τό εἱλητόν ἥν λέγει ὁ Ἱερεύς μυστικῶς.

Ὁ Θεός ὁ μέγας καί αἰνετός, ὁ τῷ ζωοποιῷ τοῦ Χριστοῦ Σου θανάτῳ εἰς ἀφθαρσίαν ἡμᾶς ἐκ φθορᾶς μεταστήσας, Σύ πάσας ἡμῶν τάς αἰσθήσεις τῆς ἐμπαθοῦς νεκρώσεως ἐλευθέρωσον, ἀγαθόν ταύταις ἡγεμόνα τόν ἔνδοθεν λο-

γισμόν ἐπιστήσας· καί ὀφθαλμούς μέν ἀπέστω παντός πονηροῦ βλέμματος, ἀκοή δέ λόγοις ἀργοῖς ἀνεπίβατος, ἡ δέ γλῶττα καθαρευέτω ρημάτων ἀπρεπῶν. Ἅγνισον ἡμῶν τά χείλη, τά αἰνοῦντά Σε Κύριε· τάς χεῖρας ἡμῶν ποίησον, τῶν μέν φαύλων ἀπέχεσθαι πράξεων, ἐνεργεῖν δέ μόνα τά Σοί εὐάρεστα πάντα ἡμῶν τά μέλη καί τήν διάνοιαν κατασφαλιζόμενος χάριτι.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ, καί τῷ Ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἔτι καί ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

## ΕΥΧΗ ΠΙΣΤΩΝ Β΄

ἥν λέγει ὁ ἱερεύς μυστικῶς.

**Δ**έσποτα ἅγιε, ὑπεράγαθε, δυσωποῦμέν σε, τόν ἐν ἐλέει πλούσιον, ἵλεων γενέσθαι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καί ἀξίους ἡμᾶς ποιῆσαι τῆς ὑποδοχῆς τοῦ Μονογενοῦς Σου Υἱοῦ καί Θεοῦ ἡμῶν, τοῦ Βασιλέως τῆς δόξης. Ἰδού γάρ τό ἄχραντον Αὐτοῦ Σῶμα, καί τό ζωοποιόν Αἷμα κατά τήν παροῦσαν ὥραν εἰσπορευόμενα, τῇ μυστικῇ ταύτῃ προτίθεσθαι μέλλει Τραπέζῃ ὑπό πλήθους Στρατιᾶς Οὐρανίου ἀοράτως δορυφορούμενα, ὧν τήν μετάληψιν ἀκατάκριτον ἡμῖν δώρηται· ἵνα δι᾽ Αὐτῶν τό τῆς διανοίας ὄμμα καταυγαζόμενοι, υἱοί φωτός καί ἡμέρας γενώμεθα.

Ὁ δέ Διάκονος ἐκφώνως·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφία.

Εἶτα ὁ Ἱερεύς ἐκφώνως·

Κατά τήν δωρεάν τοῦ Χριστοῦ σου, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ Παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός τό, Ἀμήν.

Καί ψάλλεται ὑπό τοῦ χοροῦ ἀντί τοῦ Χερουβικοῦ τό ἑπόμενον, ὅπερ ἀναγινώσκει καί ὁ ἱερεύς μυστικῶς· (ἐκ γ´)

Νῦν αἱ δυνάμεις τῶν οὐρανῶν, σύν ἡμῖν ἀοράτως λατρεύουσιν· ἰδού γάρ εἰσπορεύεται ὁ Βασιλεύς τῆς δόξης.

Ὁ δέ Διάκονος·

Ἰδού θυσία μυστική, τετελειωμένη, δορυφορεῖται· πίστει καί πόθῳ προσέλθωμεν, ἵνα μέτοχοι ζωῆς αἰωνίου γενώμεθα. Ἀλληλούϊα.

Τοῦ Χερουβικοῦ ψαλλομένου, ὁ ἱερεύς θυμιᾷ τήν ἁγίαν Τράπεζαν, τό ἱερατεῖον, εἶτα ἵσταται εἰς τήν ὡραίαν πύλην θυμιάζων κατά τά διατεταγμένα καί λέγων καθ' ἑαυτόν τό, Δεῦτε προσκυνήσωμεν (ἐκ γ´) τόν Ν´ ψαλμόν, καί φθάσας εἰς τόν στίχον "Τότε εὐδοκήσεις θυσίαν κτλ." εἰσέρχεται εἰς τό ἱερόν Βῆμα καί προσκυνήσαντες μετά τοῦ διακόνου ἔρχονται εἰς τήν ὡραίαν πύλην, καί λαβόντες συγχώρησιν παρά τοῦ λαοῦ ἀπέρχονται εἰς τήν πρόθεσιν καί λαμβάνοντες τά ἅγια κατά τά διατεταγμένα οὐδέν λέγουσιν εἰμή τό, δι' εὐχῶν τῶν πατέρων ἡμῶν κτλ. μυστικῶς· καί εἰσοδεύοντες οὐδέν λέγουσι, μόνον τό, δι' εὐχῶν κτλ. καθ' ἑαυτούς· εἰσέρχονται εἰς τήν ἁγίαν Τράπεζαν καί ἀποθέτει ὁ ἱερεύς τά ἅγια καί ἀποκαλύπτει αὐτά, καί τά μέν καλύμματα ἀποθέτει εἰς τό δεξιόν μέρος τῆς ἁγίας Τραπέζης, καί λαβών τόν ἀέρα μόνον καί θυμιάσας αὐτόν σκεπάζει δι' αὐτοῦ τά ἅγια, εἶτα θυμιάσας αὐτά λέγει τό τέλος τοῦ Ν' ψαλμοῦ, "Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν σου μόσχους·" καί ἀσπασάμενος τά ἅγια λέγει τό, δι' εὐχῶν κτλ. ὁ δέ διάκονος ἐξελθών τοῦ βήματος λέγει τήν ἐκτενῆ·

Πληρώσωμεν τήν ἑσπερινήν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ Χορός τό, Κύριε ἐλέησον.

Ὑπέρ τῶν προτεθέντων, καί προηγιασθέντων τιμίων Δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως ὁ φιλάνθρωπος Θεός ἡμῶν, ὁ προσδεξάμενος αὐτά εἰς τό ἅγιον, καί ὑπερουράνιον, καί νοερόν αὐτοῦ Θυσιαστήριον, εἰς ὀσμήν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τήν χάριν, καί τήν δωρεάν τοῦ Ἁγίου Πνεύματος, δεηθῶμεν.

Ὑπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

## ΕΥΧΗ

μετά τήν ἐν τῇ ἁγίᾳ Τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ἥν λέγει ὁ Ἱερεύς μυστικῶς.

Ὁ τῶν ἀρρήτων καί ἀθεάτων μυστηρίων Θεός, παρ᾽ ᾧ οἱ θησαυροί τῆς σοφίας καί τῆς γνώσεως, οἱ ἀπόκρυφοι· ὁ τήν διακονίαν τῆς λειτουργίας ταύτης ἀποκαλύψας ἡμῖν καί θέμενος ἡμᾶς τούς ἁμαρτωλούς διά τήν πολλήν σου φιλανθρωπίαν, εἰς τό προσφέρειν σοι δῶρά τε καί θυσίας ὑπέρ τῶν ἡμετέρων ἁμαρτημάτων, καί τῶν τοῦ λαοῦ ἀγνοημάτων· αὐτός, ἀόρατε βασιλεῦ, ὁ ποιῶν μεγάλα καί ἀνεξιχνίαστα, ἔνδοξά τε καί ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, ἔπιδε ἐφ᾽ ἡμᾶς τούς τῷ ἁγίῳ τούτῳ Θυσιαστηρίῳ, ὡς τῷ χερουβικῷ σου παρισταμένους θρόνῳ, ἐφ᾽ ᾧ ὁ μονογενής σου Υἱός καί Θεός ἡμῶν, διά τῶν προκειμένων φρικτῶν ἐπαναπαύεται μυστηρίων· καί πάσης ἡμᾶς καί τόν πιστόν σου λαόν ἐλευθερώσας ἀκαθαρσίας, ἁγίασον πάντων ἡμῶν τάς ψυχάς καί τά σώματα, ἁγιασμῷ ἀναφαιρέτῳ· ἵνα, ἐν καθαρῷ συνειδότι, ἀνεπαισχύντῳ προσώπῳ, καί πεφωτισμένῃ καρδίᾳ, τῶν θείων τούτων μεταλαμβάνοντες ἁγιασμάτων, καί ὑπ᾽ αὐτῶν ζωοποιούμενοι, ἑνωθῶμεν αὐτῷ τῷ

Χριστῷ σου, τῷ ἀληθινῷ Θεῷ ἡμῶν, τῷ εἰπόντι· Ὁ τρώγων μου τήν σάρκα, καί πίνων μου τό αἷμα, ἐν ἐμοί μένει, κἀγώ ἐν αὐτῷ· ὅπως ἐνοικοῦντος ἐν ἡμῖν καί ἐμπεριπατοῦντος τοῦ Λόγου σου, Κύριε, γενώμεθα ναός τοῦ παναγίου καί προσκυνητοῦ σου Πνεύματος, λελυτρωμένοι πάσης διαβολικῆς μεθοδείας, ἐν πράξει, ἤ λόγῳ, ἤ κατά διάνοιαν ἐνεργουμένης· καί τύχωμεν τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν, σύν πᾶσι τοῖς ἁγίοις σου, τοῖς ἀπ᾽ αἰῶνός σοι εὐαρεστήσασιν.

Ὁ δέ Διάκονος ἐκφώνως·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ Χορός·

Παράσχου, Κύριε.

Ἄγγελον εἰρήνης, πιστόν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καί ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τά καλά καί συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καί εἰρήνην τῷ κόσμῳ παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τόν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καί μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανά τά τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καί καλήν ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τήν ἑνότητα τῆς πίστεως, καί τήν κοινωνίαν τοῦ ἁγίου Πνεύματος αἰτησάμενοι, ἑαυτούς καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί, Κύριε.

Ὁ ἱερεύς ἐκφώνως·

Καί καταξίωσον ἡμᾶς, Δέσποτα, μετά παρρησίας, ἀκατακρίτως, τολμᾶν ἐπικαλεῖσθαί σε, τόν ἐπουράνιον Θεόν, Πατέρα, καί λέγειν.

Ὁ Λαός τό, Πάτερ ἡμῶν, κτλ.

Ὁ Ἱερεύς·

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καί ἡ δύναμις, καί ἡ δόξα, τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ ἁγίου Πνεύματος, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἶτα· Εἰρήνη πᾶσι.

Ὁ Διάκονος·

Τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Ἱερεύς κλινόμενος ἐπεύχεται μυστικῶς·

Ὁ Θεός, ὁ μόνος ἀγαθός καί εὔσπλαχνος, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καί τά ταπεινά ἐφορῶν, ἔπιδε εὐσπλάχνῳ ὄμματι ἐπί πάντα τόν λαόν σου, καί φύλαξον αὐτόν· καί ἀξίωσον πάντας ἡμᾶς, ἀκατακρίτως μετασχεῖν τῶν ζωοποιῶν σου τούτων Μυστηρίων· Σοί γάρ τάς ἑαυτῶν ὑπεκλίναμεν κεφαφαλάς, ἀπεκδεχόμενοι τό παρά σοῦ πλούσιον ἔλεος.

Ὁ Ἱερεύς ἐκφώνως·

Χάριτι καί οἰκτιρμοῖς καί φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ καί ἀγαθῷ, καί ζωοποιῷ σου Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς μυστικῶς·

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καί ἀπό θρόνου δόξης τῆς βασιλείας σου, καί ἐλθέ εἰς τό ἁγιάσαι ἡμᾶς, ὁ ἄνω τῷ Πατρί συγκα-

θήμενος, καί ὧδε ἡμῖν ἀοράτως συνών· καί καταξίωσον τῇ κραταιᾷ σου χειρί, μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου Σώματός σου, καί τοῦ τιμίου σου Αἵματος, καί δι᾿ ἡμῶν παντί τῷ Λαῷ.

Ὁ μέν Διάκονος ἐκφωνεῖ·

Πρόσχωμεν.

Ὁ δέ ἱερεύς δέν ἀποκαλύπτει τόν ἀέρα ἐν ᾧ εἶναι κεκαλυμμνα τά ἅγια, ἀλλά θέτων τάς χεῖράς του μετά μεγάλης προσοχῆς καί εὐλαβείας ὑψοῖ τόν ἅγιον ἄρτον λέγων μεγαλοφώνως·

Τά προηγιασμένα ἅγια τοῖς ἁγίοις.

Εἶτα ἀποκαλύπτει τά ἅγια καί μελίζει τόν ἅγιον ἄρτον λέγων τό,

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς.

Καί κατατάττει τά τέσσαρα τμήματα ταῦτα σταυροειδῶς ἐν τῷ ἁγίῳ Δισκαρίῳ οὕτως καί λαβών ἕν τμῆμα τό ἔχον **ΙΣ** ποιεῖ σταυρόν ἐπάνω τοῦ ἁγίου Ποτηρίου, λέγοντος τοῦ διακόνου·

ΙΣ

ΝΙ ΚΑ

ΧΣ

Πλήρωσον, Δέσποτα, τό ἅγιον Ποτήριον.

Καί ῥίπτει τό τεμάχιον ἐντός τοῦ ἁγίου Ποτηρίου λέγων·

Δι' εὐχῶν τῶν ἁγίων κτλ.

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα, τήν Ζέσιν.

Ὁ δέ Ἱερεύς εὐλογῶν λέγει·

Δι' εὐχῶν τῶν ἁγίων κτλ.

Τοῦ δέ διακόνου ἐκχέοντος ἐν τῷ ἁγίῳ ποτηρίῳ σταυροειδῶς, λέγει ὁ ἱερεύς·

Δι' εὐχῶν τῶν ἁγίων κτλ.

Εἶτα ὁ ἱερεύς ἤ ὁ Διάκονος ἀναγινώσκει τάς πρό τῆς Μεταλήψεως εὐχάς ταύτας·

Πρό τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα, καί τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι, ἀλλά σύ Χριστέ ὁ Θεός, ὁ τελώνην δικαιώσας, καί χαναναίαν ἐλεήσας, καί τῷ ληστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τά σπλάγχνα τῆς φιλανθρωπίας σου καί δέξαι με προσερχόμενον καί ἁπτόμενόν σου, ὡς τήν πόρνην, καί τήν αἱμόρρουν· ἡ μέν γάρ, τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τήν ἴασιν ἔλαβεν, ἡ δέ, τούς σούς ἀχράντους πόδας κρατήσασα, τήν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγώ δέ ὁ ἐλεεινός, ὅλον σου τό σῶμα τολμῶν δέξασθαι, μή καταφλεχθείην· ἀλλά δέξαι με, ὥσπερ ἐκείνας καί φώτισόν μου τά τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τά τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε, καί τῶν ἐπουρανίων δυνάμεων. Ὅτι εὐλογητός εἶ, εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πιστεύω Κύριε, καί ὁμολογῶ, ὅτι σύ εἶ ἀληθῶς ὁ Χριστός, ὁ Υἱός τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθών εἰς τόν κόσμον ἁμαρτωλούς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἔτι πιστεύω, ὅτι τοῦτο αὐτό ἐστι τό ἄχραντον Σῶμά σου, καί τοῦτο αὐτό ἐστι τό τίμιον Αἷμά σου. Δέομαι οὖν σου· ἐλέησόν με, καί συγχώρησόν μοι τά παραπτώματά μου, τά ἑκούσια καί τά ἀκούσια, τά ἐν λόγῳ τά ἐν ἔργῳ, τά ἐν γνώσει καί ἀγνοίᾳ· καί ἀξίωσόν με ἀκατακρίτως μετασχεῖν τῶν ἀχράντων σου Μυστηρίων, εἰς ἄφεσιν ἁμαρτιῶν, καί εἰς ζωήν αἰώνιον. Ἀμήν.

Ἐρχόμενος δέ μεταλαβεῖν, λέγει καθ' ἑαυτόν τούς παρόντας στίχους.

Ἰδού, βαδίζω πρός θείαν Κοινωνίαν·

Πλαστουργέ, μή φλέξῃς με τῇ μετουσίᾳ·
Πῦρ γάρ ὑπάρχεις τούς ἀναξίους φλέγον.
᾿Αλλ᾿ οὖν κάθαρον ἐκ πάσης με κηλῖδος.

Εἶτα τό Τροπάριον·

Τοῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον, Υἱέ Θεοῦ, κοινωνόν με παράλαβε· οὐ μή γάρ τοῖς ἐχθροῖς σου τό μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ ᾿Ιούδας· ἀλλ᾿ ὡς ὁ Λῃστής ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Εἶτα πάλιν τούς παρόντας στίχους·

Θεουργόν Αἷμα φρῖξον, ἄνθρωπε βλέπων·
῎Ανθραξ γάρ ἐστι τούς ἀναξίους φλέγων·
Θεοῦ τό Σῶμα, καί θεοῖ με, καί τρέφει·
Θεοῖ τό πνεῦμα, τόν δέ νοῦν τρέφει ξένως.

Καί τά τροπάρια ταῦτα·

῎Εθελξας πόθῳ με Χριστέ, καί ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι· ἀλλά κατάφλεξον πυρί ἀΰλῳ τάς ἁμαρτίας μου, καί ἐμπλησθῆναι τῆς ἐν σοί τρυφῆς καταξίωσον, ἵνα τάς δύο σκιρτῶν μεγαλύνω, ᾿Αγαθέ, παρουσίας σου.

᾿Εν ταῖς λαμπρότησι τῶν ἁγίων σου, πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ᾿Εάν γάρ τολμήσω συνεισελθεῖν εἰς τόν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καί δέσμιος ἐκβαλοῦμαι ὑπό τῶν ᾿Αγγέλων· καθάρισον, Κύριε, τόν ρύπον τῆς ψυχῆς μου, καί σῶσόν με, ὡς φιλάνθρωπος.

Καί πάλιν·

Τοῦ δείπνου σου τοῦ μυστικοῦ...

Καί προσερχόμενος ὁ ἱερεύς ἵνα κοινωνήσῃ λέγει τῷ διακόνῳ·

᾿Αδελφέ, καί συλλειτουργέ, συγχώρησόν μοι τῷ ἀναξίῳ ἱερεῖ·

Καί λαμβάνων συγχώρησιν λέγει τό·

῾Ο Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καί ἐλέησόν με. (ἐκ γ΄.)

Καί πλησιάσας εἰς τά ἅγια μετά φόβου καί τρόμου λαμβάνει ἕν τμῆμα ἐκ τοῦ ἁγίου ἄρτου καί λέγει·

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων κτλ.

Καί μεταλαβών τοῦτο λέγει τό, Ἀμήν.

Ἀφ' οὗ δέ ἀπομασήσῃ τό ἅγιον Σῶμα καί καταπίῃ, λαμβάνει τό κάλυμμα, καί καλῶς ἐπιστηρίξας ὑπό τόν πώγωνά του εὐθύς πιάνει μέ τήν δεξιάν χεῖρά του σύν τῷ καλύμματι τό ἅγιον ποτήριον, καί κοινωνίσας ἐξ αὐτοῦ τοῦ τιμίου αἵματος ἐκ γ' λέγει·

Δι' εὐχῶν τῶν ἁγίων κτλ.

Μετά τήν μετάληψιν τοῦ θείου Σώματος, καί τοῦ τιμίου αἵματος, προσκαλεῖ τόν διάκονον λέγων· ἱεροδιάκονε, πρόσελθε, κτλ.

Εἶτα, ἀποσπογγίσας τό τε ἅγιον ποτήριον, καί τά ἑαυτοῦ χείλη, ἀσπάζεται αὐτό, λέγων·

Τοῦτο ἥψατο τῶν χειλέων μου, καί ἀφελεῖ τάς ἀνομίας μου, καί τάς ἁμαρτίας μου περικαθαριεῖ.

Εἶτα τήν παροῦσαν εὐχήν.

**Ε**ὐχαριστοῦμέν σοι τῷ Σωτῆρι τῶν ὅλων Θεῷ, ἐπί πᾶσιν, οἷς παρέσχου ἡμῖν ἀγαθοῖς, καί ἐπί τῇ μεταλήψει τοῦ ἁγίου σώματος καί αἵματος τοῦ Χριστοῦ σου· καί δεόμεθά σου, Δέσποτα φιλάνθρωπε· Φύλαξον ἡμᾶς ὑπό τήν σκέπην τῶν πτερύγων σου· καί δός ἡμῖν μέχρι τῆς ἐσχάτης ἡμῶν ἀναπνοῆς, ἐπαξίως μετέχειν τῶν ἁγιασμάτων σου, εἰς φωτισμόν ψυχῆς καί σώματος, εἰς βασιλείας οὐρανῶν κληρονομίαν.

Εἶτα δέ ἀφίνων τό ἅγιον ποτήριον λαμβάνει τό ἅγιον δισκάριον σύν τῇ μούσᾳ μέ τήν ἀριστεράν χεῖρά του, καί μέ τούς δύο δακτύλους τῆς δεξιᾶς βάζει τά τμήματα τοῦ ἁγίου σώματος, καί λέγει·

Δι' εὐχῶν τῶν ἁγίων κτλ.

Εἶτα κτυπᾷ σταυροειδῶς μέ τόν Ἀστερίσκον εἰς τό Δισκάριον διά νά κάμῃ τέλος τοῦ Κοινωνικοῦ ὁ ψάλτης ὁ δέ διάκονος ἀνοίγων τά βημόθυρα λαμβάνει παρά τοῦ ἱερέως τό ἅγιον Ποτήριον, καί ἔρχεται εἰς τήν ὡραίαν Πύλην θεωρῶν πρός τόν Λαόν, καί λέγει·

Μετά φόβου Θεοῦ, πίστεως καί ἀγάπης προσέλθετε.

Εἶτα εὐλογῶν ὁ Ἱερεύς λέγει·

Σῶσον ὁ Θεός τόν λαόν σου, καί εὐλόγησον τήν κληρονομίαν σου.

Ὁ δέ Χορός τό,

Εὐλογήσω τόν Κύριον ἐν παντί καιρῷ διά παντός ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἄρτον Οὐράνιον, καί ποτήριον ζωῆς γεύσασθε καί ἴδετε, ὅτι Χρηστός ὁ Κύριος· Ἀλληλούϊα· (ἐκ γ΄)

Εἶτα ἀποθέτει, τό ἅγιον Ποτήριον ἐν τῇ ἁγίᾳ Τραπέζῃ καί λαβών, τό θυμιατόν θυμιάζει τρίς, λέφων μυστικῶς.

Ὑψώθητι ἐπί τούς οὐρανούς, ὁ Θεός, καί ἐπί πᾶσαν τήν γῆν ἡ δόξα σου. (ἐκ γ΄).

Καί ὁ μέν διάκονος λαμβάνων παρά τοῦ ἱερέως τό ἅγιον δισκάριον σύν τοῖς λοιποῖς ἀπέρχεται εἰς τήν ἁγίαν Πρόθεσιν καί ἀποθέτει αὐτά. Ὁ δέ ἱερεύς, λαβών τό ἅγιον Ποτήριον, λέγει μυστικῶς·

Εὐλογητός ὁ Θεός ἡμῶν,

Θεωρῶν δέ πρός τόν λαόν ἐκφωνεῖ.

Πάντοτε· νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Καί εὐθύς ἀπέρχεται εἰς τήν ἁγίαν Πρόθεσιν, ἀφίνει τό ἅγιον ποτήριον, ἐπιστρέφει εἰς τήν ἁγίαν Τράπεζαν, διπλώνει τό ἀντιμίνσιον, ὁ δέ διάκονος λέγει μεγαλοφώνως ἔμπροσθεν τῆς εἰκόνος τοῦ Ἰησοῦ Χριστοῦ·

Ὀρθοί. Μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, καί ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ Μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ δέ Ἱερεύς ἐκφώνως·

Ὅτι σύ εἶ ὁ ἁγιασμός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καί τῷ Υἱῷ, καί τῷ ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ἐνταῦθα λαμβάνει τό ἅγιον Εὐαγγέλιον, ποιεῖ σταυρόν ἐπάνω τοῦ Ἀντιμινσίου, καί τό ἀφίνει. Εἶτα ἀτενίζων πρός τόν λαόν λέγει·

Ἐν εἰρήνῃ προέλθωμεν.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός·

Κύριε ἐλέησον, (γ΄) Δέσποτα ἅγιε, εὐλόγησον.

Ὁ δέ ἱερεύς ἀναγινώσκει μεγαλοφώνως τήν ὀπισθάμβωνον εὐχήν ταύτην κατά τά διατεταγμένα.

Δέσποτα Παντοκράτορ, ὁ πᾶσαν τήν κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διά τήν ἄφατόν σου πρόνοιαν καί πολλήν ἀγαθότητα ἀγαγών ἡμᾶς εἰς τάς πανσέπτους ἡμέρας ταύτας, πρός καθαρισμόν ψυχῶν καί σωμάτων, πρός ἐγκράτειαν παθῶν, πρός ἐλπίδα ἀναστάσεως· ὁ διά τεσσαράκοντα ἡμερῶν πλάκας χειρίσας τά θεοχάρακτα γράμματα τῷ θε- ράποντί σου Μωσεῖ, παράσχου καί ἡμῖν, Ἀγαθέ, τόν ἀγῶνα τόν καλόν ἀγωνίσασθαι, τόν δρόμον τῆς νηστείας ἐκτελέσαι, τήν πίστιν ἀδιαίρετον τηρῆσαι, τάς κεφαλάς τῶν

ἀοράτων δρακόντων συνθλάσαι, νικητάς τε τῆς ἁμαρτίας ἀναφανῆναι, καί ἀκατακρίτως φθάσαι προσκυνῆσαι καί τήν ἁγίαν ἀνάστασιν. Ὅτι ηὐλόγηται καί δεδόξασται τό πάντιμον καί μεγαλοπρεπές ὄνομά σου, τοῦ Πατρός, καί τοῦ Υἱοῦ, καί τοῦ ἁγίου Πνεύματος, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Εἴη τό ὄνομα Κυρίου εὐλογημένον, ἀπό τοῦ νῦν καί ἕως τοῦ αἰῶνος. (γ΄)

Καί ταὐτοχρόνως ὁ ἱερεύς εἰσέρχεται εἰς τήν ἁγίαν Πρόθεσιν καί ἀναγινώσκει μυστικῶς τήν εὐχήν ταύτην·

Κύριε ὁ Θεός ἡμῶν, ὁ ἀγαγών ἡμᾶς εἰς τάς πανσέπτους ἡμέρας ταύτας, καί κοινωνούς ἡμᾶς ποιήσας τῶν φρικτῶν σου Μυστηρίων, σύναψον τῇ λογικῇ ποίμνῃ, καί κληρονόμους ἀνάδειξον τῆς Βασιλείας σου, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός τό, Κύριε ἐλέησον.

Ὁ δέ Ἱερεύς ἐξερχόμενος εὐλογεῖ τόν λαόν, λέγων·

Εὐλογία Κυρίου καί ἔλεος ἔλθοι ἐφ᾽ ὑμᾶς, τῇ αὐτοῦ θείᾳ χάριτι καί φιλανθρωπίᾳ, πάντοτε, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Δόξα σοι Χριστέ ὁ Θεός ἡ ἐλπίς ἡμῶν, δόξα σοι.

Ὁ Λαός·

Δόξα· καί νῦν. Κύριε ἐλέησον, Δέσποτα ἅγιε εὐλόγησον.

Καί ὁ Ἱερεύς ποιεῖ ἀπόλυσιν οὕτως·

Χριστός ὁ ἀληθινός Θεός ἡμῶν. Ταῖς πρεσβείαις τῆς Παναχράντου, Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας. Δυνάμει τοῦ τιμίου καί Ζωοποιοῦ Σταυροῦ. Προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων. Τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου, καί Βαπτιστοῦ Ἰ-

ωάννου. Τῶν ἁγίων ἐνδόξων καί πανευφήμων Ἀποστόλων. Τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν καί οἰκουμενικῶν Διδασκάλων καί Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καί Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καί Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος Ἐπισκόπου Τριμυθοῦντος τοῦ θαυματουργοῦ. Τῶν Ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων, Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τίρωνος καί Στρατηλάτου. Τῶν ἁγίων ἐνδόξων ἱερομαρτύρων Χαραλάμπους καί Ἐλευθερίου. Τῶν Ἁγίων ἐνδόξων καί καλλινίκων Μαρτύρων. Τοῦ ἐν ἁγίοις πατρός ἡμῶν Γρηγορίου τοῦ Διαλόγου Πάππα Ῥώμης. Τοῦ ἁγίου (τοῦ Ναοῦ). Τῶν Ὁσίων καί Θεοφόρων Πατέρων ἡμῶν. Τῶν ἁγίων καί δικαίων Θεοπατόρων Ἰωακείμ καί Ἄννης. Τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καί τήν μνήμην ἐπιτελοῦμεν, καί πάντων σου τῶν Ἁγίων. Ἐλεῆσαι καί σῶσαι ἡμᾶς, ὡς Ἀγαθός καί Φιλάνθρωπος, καί Ἐλεήμων Θεός.

Εἶτα ὁ χορός ἀναγινώσκει τούς δύο ψαλμούς τό, Εὐλογήσω τόν Κύριον ἐν παντί καιρῷ... καί τό Ὑψώσω σε, ὁ Θεός μου,....

Μετά δέ τήν μεγάλην ἀπόλυσιν καί διανομήν τοῦ ἀντιδώρου κλπ. λέγει τό,

Δι' εὐχῶν τῶν ἁγίων κτλ.

Εἶτα ὁ Ἱερεύς, διανέμει τό Ἀντίδωρον εἰς τούς πιστούς. Ὁ δέ Διάκονος εἰσέρχεται εἰς τήν ἁγίαν Πρόθεσιν, καί προσκυνήσας τρίς συστέλλει τά Ἅγια μετά φόβου καί πάσης εὐλαβείας. Μή ὑπάρχοντος ὅμως τοῦ Διακόνου, ἡ συστολή γίνεται ἀπό τόν Ἱερέα.

Εἶτα ὁ ῾Ιερεύς ἀποδυσάμενος τήν ἱερατικήν του στολήν λέγει·

Νῦν ἀπολύεις τόν δοῦλόν σου, Δέσποτα, κατά τό ῥῆμα σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τό σωτήριόν σου, ὅ ἡτοίμασας κατά πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καί δόξαν λαοῦ σου ᾿Ισραήλ.

Εἶτα λέγει, τό Τρισάγιον κ. λ. π., τό ᾿Απολυτίκιον τοῦ ῾Αγίου τῆς ἡμέρας καί τό Θεοτοκίον, τοῦ Ναοῦ καί τοῦ ἁγίου Γρηγορίου τοῦ Διαλόγου.

Ἀπολυτίκιον.

Ἦχος δ´. Ταχύ προκατάλαβε.

Τῆς Ῥώμης τόν πρόεδρον, Μυσταγωγόν Ἱερόν, διάδοχον Πέτρου τε, τοῦ Κορυφαίου σοφόν, Γρηγόριον μύστην τε, τῆς Προηγισμένης, Λειτουργίας ἐν ὕμνοις, πάντες ἀνευφημοῦμεν, τόν Διάλογον πόθῳ· πρεσβεύει γάρ ἀπαύστως Χριστῷ, εἰς τό σωθῆναι ἡμᾶς.

Κοντάκιον τοῦ αὐτοῦ.

Ἦχος δ´. Ἐπεφάνης σήμερον.

Τόν σοφόν Γρηγόριον, τόν Ῥώμης Πάππαν. Λειτουργίας θείας τε, Μυσταγωγόν ὑφηγητήν, ἡγιασμένον τιμήσωμεν νῦν ἐπαξίως, τόν θεῖον Διάλογον.

Εἶτα τό, Κύριε ἐλέησον ιβ´. Δόξα, καί νῦν. Τήν Τιμιωτέραν κτλ. Καί ποιεῖ μικράν ἀπόλυσιν οὕτως·

Δόξα σοι Χριστέ ὁ Θεός ἡ ἐλπίς ἡμῶν, δόξα σοι· Χριστός ὁ ἀληθινός Θεός ἡμῶν. Ταῖς πρεσβείαις τῆς Παναχράτου καί Παναμώμου ἁγίας αὐτοῦ Μητρός· τῶν ὁσίων καί θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καί δικαίων Θεοπατόρων Ἰωακείμ καί Ἄννης. Τοῦ ἐν ἁγίοις Πατρός ἡμῶν Γρηγορίου τοῦ Διαλόγου Πάππα Ῥώμης καί πάντων σου τῶν ἁγίων, ἐλεήσαι καί σώσαι ἡμᾶς ὡς ἀγαθός καί φιλάνθρωπος.

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων κλπ.

Εἶτα προσκυνήσαντες, καί εὐχαριστήσαντες τῷ Θεῷ ἐπί πᾶσιν, ἐξέρχονται.

# AKOLOYUIA TOY MEGALOY AGIAS-MOY

Μετά τό εἰπεῖν τόν ῾Ιερέα τήν ᾿Οπισθάμβωνον εὐχήν, ἐξερχόμεθα πάντες ἐν τῇ Κολυμβήθρᾳ, προπορευομένου τοῦ ῾Ιερέως μετά λαμπάδων καί τοῦ θυμιατοῦ· καί ἡμῶν ψαλλόντων τά παρόντα Τροπάρια.

Ἦχος πλ. δ΄.

Φωνή Κυρίου ἐπί τῶν ὑδάτων βοᾷ λέγουσα· Δεῦτε λάβετε πάντες, Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, Πνεῦμα φόβου Θεοῦ, τοῦ ἐπιφανέντος Χριστοῦ. (δίς).

Σήμερον τῶν ὑδάτων, ἁγιάζεται ἡ φύσις· καί ρήγνυται ὁ ᾿Ιορδάνης, καί τῶν ἰδίων ναμάτων ἐπέχει τό ρεῦμα, Δεσπότην ὁρῶν ρυπτόμενον.

Ὡς ἄνθρωπος ἐν ποταμῷ, ἦλθες Χριστέ Βασιλεῦ· καί δουλικόν Βάπτισμα λαβεῖν, σπεύδεις ἀγαθέ, ὑπό τῶν τοῦ Προδρόμου χειρῶν, διά τάς ἁμαρτίας ἡμῶν, φιλάνθρωπε.

Δόξα Πατρί. Καί νῦν. Ἦχος πλ. δ΄.

Πρός τήν φωνήν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· ῾Ετοιμάσατε τήν ὁδόν τοῦ Κυρίου· ἦλθες Κύριε, μορφήν δούλου λαβών, Βάπτισμα αἰτῶν, ὁ μή γνούς ἁμαρτίαν. Εἴδοσάν σε ὕδατα, καί ἐφοβήθησαν· σύντρομος γέγονεν ὁ Πρόδρομος, καί ἐβόησε λέγων· Πῶς φωτίσει ὁ λύχνος τό φῶς; πῶς χειροθετήσει ὁ δοῦλος τόν Δεσπότην; ῾Αγίασον ἐμέ καί τά ὕδατα Σωτήρ, ὁ αἴρων τοῦ κόσμου τήν ἁμαρτίαν.

Καί εὐθύς τά Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καί ἀνθείτω ὡς κρίνον. Καί ἐξανθήσει καί ὑλοχαρήσει, καί ἀγαλλιάσονται τά ἔρημα τοῦ Ἰορδάνου· καί ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καί ἡ τιμή τοῦ Καρμήλου· καί ὁ λαός μου ὄψεται τήν δόξαν Κυρίου, καί τό ὕψος τοῦ Θεοῦ. Ἰσχύσατε χεῖρες ἀνειμέναι, καί γόνατα παραλελυμένα. Παρακαλέσατε, καί εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ. Ἰσχύσατε, καί μή φοβεῖσθε· ἰδού ὁ Θεός ἡμῶν κρίσιν ἀνταποδίδωσι, καί ἀνταποδώσει· αὐτός ἥξει καί σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοί τυφλῶν, καί ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται χωλός ὡς ἔλαφος, καί τρανή ἔσται γλῶσσα μογγιλάλων· ὅτι ἐρράγη ἐν ἐρήμῳ ὕδωρ, καί φάραγξ ἐν γῇ διψώσῃ. Καί ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καί εἰς τήν διψῶσαν γῆν πηγή ὕδατος ἔσται· ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, ἐπαύλεις σειρήνων, καί καλάμη, καί ἕλη. Καί ἔσται ἐκεῖ ὁδός καθαρά, καί ὁδός ἁγία κληθήσεται· οὐ μή παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδέ ἔσται ἐκεῖ ὁδός ἀκάθαρτος· οἱ δέ διεσπαρμένοι πορεύσονται ἐπ᾽ αὐτῆς, καί οὐ μή πλανηθῶσι. Καί οὐκ ἔσται ἐκεῖ λέων, οὐδέ τῶν πονηρῶν θηρίων, οὐ μή ἀναβῇ εἰς αὐτήν, οὐδέ μή εὑρεθῇ ἐκεῖ· ἀλλά πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι, καί συνηγμένοι ὑπό Κυρίου. Καί ἀποστραφήσονται καί ἥξουσιν εἰς Σιών μετ᾽ εὐφροσύνης καί ἀγαλλιάσεως· καί εὐφροσύνη αἰώνιος ὑπέρ κεφαλῆς αὐτῶν· ἐπί γάρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις, καί ἀγαλλίαμα, καί εὐφροσύνη καταλήψεται αὐτούς· ἀπέδρα ὀδύνη, λύπη, καί στεναγμός.

Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Οἱ διψῶντες πορεύεσθε ἐφ᾽ ὕδωρ· καί ὅσοι μή ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε· καί φάγεσθε, καί πίεσθε, ἄνευ ἀργυρίου καί τιμῆς, οἶνον καί στέαρ.

Ἵνα τί τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις; καί ὁ μόχθος ἡμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατέ μου, καί φάγεσθε ἀγαθά, καί ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχή ἡμῶν. Προσέχετε τοῖς ὠσίν ὑμῶν, καί ἐπακολουθεῖτε ταῖς ὁδοῖς μου· εἰσακούσατέ μου, καί ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχή ὑμῶν· καί διαθήσομαι ὑμῖν Διαθήκην αἰώνιον, τά ὅσια Δαυΐδ τά πιστά. Ἰδού μαρτύριον ἐν ἔθνεσιν ἔδωκα αὐτόν ἄρχοντα καί προστάσσοντα ἐν ἔθνεσιν. Ἰδού ἔθνη, ἅ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε. καί λαοί οἵ οὐκ ἐπίστανταί σε, ἐπί σέ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου, καί τοῦ ἁγίου Ἰσραήλ, ὅτι ἐδόξασέ σε. Ζητήσατε τόν Κύριον, καί ἐν τῷ εὑρίσκειν αὐτόν, ἐπικαλέσασθε· ἡνίκα δ᾽ ἄν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβής τάς ὁδούς αὐτοῦ, καί ἀνήρ ἄνομος τάς βουλάς αὐτοῦ· καί ἐπιστράφητε πρός Κύριον, καί ἐλεηθήσεσθε, καί κράξεσθε, ὅτι ἐπί πολύ ἀφήσει τάς ἁμαρτίας ὑμῶν. Οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὥσπερ αἱ βουλαί ὑμῶν, οὐδ' ὥσπερ αἱ ὁδοί ὑμῶν, αἱ ὁδοί μου, λέγει Κύριος. Ἀλλ' ὡς ἀπέχει ὁ οὐρανός ἀπό τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπό τῶν ὁδῶν ὑμῶν, καί τά διανοήματα ὑμῶν ἀπό τῆς διανοίας μου. Ὡς γάρ ἄν καταβῇ ὑετός, ἤ χιών ἐκ τοῦ οὐρανοῦ, καί οὐ μή ἀποστραφῇ, ἕως ἄν μεθύσῃ τήν γῆν, καί ἐκτέκῃ, καί ἐκλβαστήσῃ, καί δῷ σπέρμα τῷ σπείροντι, καί ἄρτον εἰς βρῶσιν, οὕτως ἔσται τό ρῆμά μου, ὅ ἐάν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μή ἀποστραφῇ πρός με κενόν, ἕως ἄν τελεσθῇ ὅσα ἄν ἠθέλησα, καί εὐοδώσω τάς ὁδούς μου, καί τά ἐντάλματά μου. Ἐκ γάρ εὐφροσύνῃ ἐξελεύσεσθε, καί ἐν χαρᾷ διδαχθήσεσθε· τά γάρ ὄρη καί οἱ βουνοί ἐξαλοῦνται, προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καί πάντα τά ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις. Καί ἀντί τῆς στοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντί δέ τῆς κονύζης ἀναβήσεται μυρσίνη· καί ἔσται Κυρίῳ εἰς ὄνομα, καί εἰς σημεῖον αἰώνιον, καί οὐκ ἐκλείψει.

Προφητείας Ἡσαΐου τό Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Ἀντλήσατε ὕδωρ μετ᾽ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καί ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε τόν Κύριον, βοᾶτε τό ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τά ἔνδοξα αὐτοῦ, μιμνήσκεσθε, ὅτι ὑψώθη τό ὄνομα αὐτοῦ. Ὑμνήσατε τό ὄνομα Κυρίου, ὅτι ὑψηλά ἐποίησεν· ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε καί εὐφραίνεσθε οἱ κατοικοῦντες Σιών· ὅτι ὑψώθη ὁ ἅγιος τοῦ Ἰσραήλ ἐν μέσῳ αὐτῆς.

Προκείμενον· Ἦχος γ΄.

Κύριος φωτισμός μου καί σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστής τῆς ζωῆς μου.

## ΑΠΟΣΤΟΛΟΣ

Πρός Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπό τήν νεφέλην ἦσαν, καί πάντες διά τῆς θαλάσσης διῆλθον, καί πάντες εἰς τόν Μωυσῆν ἐβαπτίσαντο, ἐν τῇ νεφέλῃ καί ἐν τῇ θαλάσσῃ, καί πάντες τό αὐτό βρῶμα πνευματικόν ἔφαγον, καί πάντες τό αὐτό πόμα πνευματικόν ἔπιον· ἔπινον γάρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δέ πέτρα ἦν ὁ Χριστός.

Ἀλληλούϊα. Ἦχος δ'.

Φωνή Κυρίου ἐπί τῶν ὑδάτων.

Στίχ. Ὁ Θεός τῆς δόξης ἐβρόντησεν ἐπί ὑδάτων.

## ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ Κατά Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπό Ναζαρέτ τῆς Γαλιλαίας, καί ἐβαπτίσθη ὑπό Ἰωάννου εἰς τόν Ἰορδάνην. Καί εὐθέως ἀναβαίνων ἀπό τοῦ ὕδατος, εἶδε σχιζομένους τούς οὐρανούς καί τό Πνεῦμα ὡσεί περιστεράν καταβαῖνον ἐπ᾽ αὐτόν. Καί φωνή ἐγένετο ἐκ τῶν οὐρανῶν· Σύ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.

Καί εὐθύς ὁ Διάκονος τά Εἰρηνικά.

Ὁ Χορός, μεθ᾽ ἑκάστην δέησιν·
Κύριε, ἐλέησον.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετά πίστεως, εὐλαβείας καί φόβου Θεοῦ εἰσόντων ἐν αὐτῷ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καί Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ συμπολεμῆσαι καί ὑποτάξαι ὑπό τό κράτος αὐτοῦ, πάντα ἐχθρόν καί πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῆς πόλεως (ἤ τῆς χώρας, ἤ τῆς κώμης, ἤ τῆς νήσου, ἤ τῆς ἁγίας Μονῆς) ταύτης, πάσης πόλεως, χώρας, καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καί καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἁγιασθῆναι τό ὕδωρ τοῦτο, τῇ ἐπιφοιτήσει καί δυνάμει, καί ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τήν καθαρτικήν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ δωρηθῆναι αὐτοῖς τήν χάριν τῆς ἀπολυτρώσεως, τήν εὐλογίαν τοῦ Ἰορδάνου, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμόν γνώσεως καί εὐσεβείας, διά τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ γενηθῆναι τό ὕδωρ τοῦτο ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, εἰς ἴασιν ψυχῆς τε καί σώματος, καί πρός πᾶσαν ὠφέλειαν ἐπιτήδειον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ γενέσθαι αὐτό ὕδωρ ἁλλόμενον εἰς ζωήν αἰώνιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τοῦ ἀναδειχθῆναι αὐτό ἀποτρόπαιον καί καθαρτήριον πάσης ἐπιβουλῆς καί ἐνεργείας ὁρατῶν τε καί ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπέρ τῶν ἀντλούντων καί ἀρυομένων ἐξ αὐτοῦ εἰς ἁγιασμόν οἴκων, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ γενέσθαι αὐτό καθάρσιον ψυχῶν καί σωμάτων, πᾶσι τοῖς ἀρυομένοις πίστει, καί μεταλαμβάνουσιν ἐξ αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ καταξιωθῆναι ἡμᾶς ἐμπλησθῆναι ἁγιασμοῦ, διά τῆς τῶν ὑδάτων τούτων μεταλήψεως, τῇ ἀοράτῳ ἐπιφανείᾳ τοῦ ῾Αγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ εἰσακοῦσαι Κύριον τόν Θεόν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καί ἐλεῆσαι ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ ρυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως, ὀργῆς, κινδύνου καί ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

῎Αντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

῾Η ἑπομένη Εὐχή λέγεται παρά τοῦ ῾Ιερέως μυστικῶς, τῶν Εἰρηνικῶν λεγομένων παρά τοῦ Διακόνου, εἰ δ΄ οὐκ ἔστιν, ὡς ἐν ἀρχῇ, λέγεται, ὅτε ἀναγινώσκονται αἱ Προφητεῖαι.

(«Προοίμιον τῆς Εὐχῆς τῶν ἁγίων Θεοφανείων»
Ποίημα Γεραμνοῦ πατριάρχου.)

Κύριε ᾿Ιησοῦ Χριστέ, ὁ μονογενής Υἱός, ὁ ὤν εἰς τόν κόλπον τοῦ Πατρός, ὁ ἀληθινός Θεός, ἡ πηγή τῆς ζωῆς καί τῆς ἀθανασίας, τό φῶς τό ἐκ φωτός, ὁ ἐλθών εἰς τόν κόσμον τοῦ φωτίσαι αὐτόν, καταύγασον ἡμῶν τήν διάνοιαν τῷ ῾Αγίῳ σου Πνεύματι, καί πρόσδεξαι ἡμᾶς, μεγαλωσύνην καί εὐχαριστίαν σοι προσάγοντας, ἐπί τοῖς ἀπ᾿ αἰῶνος θαυμαστοῖς σου μεγαλουργήμασι, καί τῇ ἐπ᾿ ἐσχάτων τῶν αἰώ-

νων σωτηρίῳ σου οἰκονομίᾳ· ἐν ᾗ τό ἀσθενές ἡμῶν καί πτωχόν περιβαλόμενος φύραμα, καί τοῖς τῆς δουλείας μέτροις συγκατιών, ὁ τῶν ἁπάντων βασιλεύς, ἔτι καί δουλικῃ χειρί ἐν τῷ Ἰορδάνῃ βαπτισθῆναι κατεδέξω· ἵνα τήν τῶν ὑδάτων φύσιν ἁγιάσας ὁ ἀναμάρτηρος, ὁδοποιήσῃς ἡμῖν τήν δι᾽ ὕδατος καί πνεύματος ἀναγέννησιν, καί πρός τήν πρώτην ἡμᾶς ἀποκαταστήσῃς ἐλευθερίαν. Οὗ τινος θείου μυστηρίου τήν ἀνάμνησιν ἑορτάζοντες, δεόμεθά σου Δέσποτα φιλάνθρωπε· Ῥᾶνον ἐφ᾽ ἡμᾶς τούς ἀναξίους δούλους σου, κατά τήν θείαν σου ἐπαγγελίαν, ὕδωρ καθάρσιον, τῆς σῆς εὐσπλαχνίας τήν δωρεάν, εἰς τό τήν ἐπί τῷ ὕδατι τούτῳ αἴτησιν ἡμῶν τῶν ἁμαρτωλῶν, εὐπρόσδεκτον γενέσθαι τῇ σῇ ἀγαθότητι, καί τήν εὐλογίαν σου δι᾽ αὐτοῦ ἡμῖν τε, καί παντί τῶ πιστῷ σου χαρισθῆναι λαῷ, εἰς δόξαν τοῦ ἁγίου καί προσκυνητοῦ σου ὀνόματος. Σοί γάρ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί εἰπών καθ᾽ ἑαυτόν τό, Ἀμήν, τοῦ Διακόνου ἤδη πεπληρωκότος τήν Συναπτήν, ἄρχεται ὁ Ἱερεύς εἰς ἐπήκοον παντός τοῦ λαοῦ τῆς Εὐχῆς ταύτης·

(Ποίημα Σωφρονίου πατριάρχου Ἱεροσολύμων)

Τριάς ὑπερούσιε, ὑπεράγαθε, ὑπέρθεε, παντοδύναμε, παντεπίσκοπε, ἀόρατε, ἀκατάληπτε, δημιουργέ τῶν νοερῶν οὐσιῶν καί τῶν λογικῶν φύσεων· ἡ ἔμφυτος ἀγαθότης, τό φῶς τό ἀπρόσιτον, τό φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τόν κόσμον, λάμψον κἀμοί τῷ ἀναξίῳ δούλῳ σου· φώτισόν μου τῆς διανοίας τά ὄμματα, ὅπως ἀνυμνῆσαι τολμήσω τήν ἄμετρον εὐεργεσίαν καί δύναμιν. Εὐπρόσδεκτος γενέσθω ἡ παρ᾽ ἐμοῦ δέησις διά τόν παρεστῶτα λαόν· ὅπως τά πλημμελήματά μου μή κωλύσωσιν ἐνθάδε παραγενέσθαι τό Ἅγιόν σου Πνεῦμα, ἀλλά συγχώρησόν μοι ἀκατακρίτως

βοᾶν σοι, καί λέγειν καί νῦν, ὑπεράγαθε· Δοξάζομέν σε, δέποτα φιλάνθρωπε, παντοκράτορ, προαιώνιε βασιλεῦ· Δοξάζομέν σε τόν κτίστην, καί δημιουργόν τοῦ παντός. Δοξάζομέν σε, υἱέ τοῦ Θεοῦ μονογενές, τόν ἀπάτορα ἐκ μητρός, καί ἀμήτορα ἐκ πατρός· ἐν γάρ τῇ προλαβούσῃ ἑορτῇ νήπιόν σε εἴδομεν, ἐν δέ τῇ παρούσῃ, τέλειόν σε ὁρῶμεν, τόν ἐκ τελείου τέλειον ἐπιφανέντα Θεόν ἡμῶν. Σήμερον γάρ ὁ τῆς ἑορτῆς ἡμῖν ἐπέστη καιρός καί χορός ἁγίων ἐκκλησιάζει ἡμῖν, καί ἄγγελοι μετά ἀνθρώπων συνεορτάζουσι. Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἐν εἴδει περιστερᾶς, τοῖς ὕδασιν ἐπεφοίτησε. Σήμερον ὁ ἄδυτος ἥλιος ἀνέτειλε, καί ὁ κόσμος τῷ φωτί Κυρίου καταυγάζεται. Σήμερον ἡ σελήνη λαμπραῖς ταῖς ἀκτῖσι τῷ κόσμῳ συνεκλαμπρύνεται. Σήμερον οἱ φωτοειδεῖς ἀστέρες τῇ φαιδρότητι τῆς λάμψεως τήν οἰκουμένην καλλωπίζουσι. Σήμερον αἱ νεφέλαι ὑετόν δικαιοσύνης τῇ ἀνθρωπότητι οὐρανόθεν δροσίζουσι. Σήμερον ὁ ἄκτιστος ὑπό τοῦ ἰδίου πλάσματος βουλῇ χειροθετεῖται. Σήμερον ὁ προφήτης καί πρόδορμος τῷ δεσπότῃ προσέρχεται, ἀλλά τρόμῳ παρίσταται, ὁρῶν Θεοῦ πρός ἡμᾶς συγκατάβασιν. Σήμερον τά τοῦ Ἰορδάνου νάματα εἰς ἰάματα μεταποιεῖται τῇ τοῦ Κυρίου παρουσίᾳ. Σήμερον ρείθροις μυστικοῖς πᾶσα ἡ κτίσις ἀρδεύεται. Σήμερον τά τῶν ἀνθρώπων πταίσματα τοῖς ὕδασι τοῦ Ἰορδάνου ἀπαλείφονται. Σήμερον ὁ παράδεισος ἠνέῳκται τοῖς ἀνθρώποις, καί ὁ τοῖς δικαιοσύνης ἥλιος καταυγάζει ἡμῖν. Σήμερον τό πικρόν ὕδωρ, τό ἐπί Μωυσέως τῷ λαῷ εἰς γλυκύτητα μεταποιεῖται τῇ τοῦ Κυρίου παρουσίᾳ. Σήμερον τοῦ παλαιοῦ θρήνου ἀπηλλάγημεν, καί ὡς νέος Ἰσραήλ διεσώθημεν. Σήμερον τοῦ σκότους ἐλυτρώθημεν, καί τῷ φωτί τῆς θεογνωσίας καταυγαζόμεθα. Σήμερον ἡ ἀχλύς τοῦ κόσμου καθαίρεται τῇ ἐπιφανείᾳ τοῦ Θεοῦ ἡμῶν. Σήμερον λαμπαδοφεγγεῖ πᾶσα ἡ κτίσις ἄνωθεν. Σήμερον ἡ πλάνη κατήργηται, καί ὁδόν ἡμῖν σωτηρίας ἐργάζεται ἡ τοῦ δεσπότου ἐπέλευ-

σις. Σήμερον τά ἄνω τοῖς κάτω συνεορτάζει, καί τά κάτω τοῖς ἄνω συνομιλεῖ. Σήμερον ἡ ἱερά καί μεγαλόφωνος τῶν Ὀρθοδόξων πανήγυρις ἀγάλλεται. Σήμερον ὁ δεσπότης πρός τό βάπτισμα ἐπείγεται, ἵνα ἀναβιβάσῃ πρός ὕψος τό ἀνθρώπινον. Σήμερον ὁ ἀκλινής τῷ ἰδίῳ οἰκέτῃ ὑποκλίνεται, ἵνα ἡμᾶς ἐκ τῆς δουλείας ἐλευθερώσῃ. Σήμερον βασιλείαν οὐρανῶν ὠνησάμεθα· τῆς γάρ βασιλείας τοῦ Κυρίου οὐκ ἔσται τέλος. Σήμερον γῆ καί θάλασσα τήν τοῦ κόσμου χαράν ἐμερίσαντο, καί ὁ κόσμος εὐφροσύνης πεπλήρωται. Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καί ἐφοβήθησαν. Ὁ Ἰορδάνης ἐστράφη εἰς τά ὀπίσω, θεασάμενος τό πῦρ τῆς θεότητος σωματικῶς κατερχόμενον καί εἰσερχόμενον ἐπ᾽ αὐτόν. Ὁ Ἰορδάνης ἐστράφη εἰς τά ὀπίσω, θεωρῶν τό Πνεῦ-μα τό Ἅγιον, ἐν εἴδει περιστερᾶς κατερχόμενον, καί περιιπτάμενόν σοι. Ὁ Ἰορδάνης ἐστράφη εἰς τά ὀπίσω, ὁρῶν τόν ἀόρατον ὁραθέντα, τόν κτίστην σαρκωθέντα, τόν δεσπότην ἐν δούλου μορφῇ. Ὁ Ἰορδάνης ἐστράφη εἰς τά ὀπίσω, καί τά ὄρη ἐσκίρτησαν, Θεόν ἐν σαρκί καθορῶντα, καί νεφέλαι φωνήν ἔδωκαν, θαυμάζουσαι τόν παραγενόμενον, φῶς ἐκ φωτός, Θεόν ἀληθινόν ἐκ Θεοῦ ἀληθινοῦ, δεσποτικήν πανήγυριν σήμερον ἐν τῷ Ἰορδάνῃ ὁρῶντες, αὐτόν δέ τόν τῆς παρακοῆς θάνατον, καί τό τῆς πλάνης κέντρον, καί τόν τοῦ ᾅδου σύνδεσμον ἐν τῷ Ἰορδάνῃ βυθίσαντα, καί βάπτισμα σωτηρίας τῷ κόσμῳ δωρησάμενον. Ὅθεν κἀγώ ὁ ἁμαρτωλός καί ἀνάξιος δοῦλός σου, τά μεγαλεῖα τῶν θαυμάτων σου διηγούμενος, συνεχόμενος φόβῳ, ἐν κατανύξει βοῶ σοι.

Μετά δέ τήν συμπλήρωσιν, λέγει γεγονωτέρᾳ τῇ φωνῇ.

Μέγας εἶ, Κύριε, καί θαυμαστά τά ἔργα σου, καί οὐδείς λόγος ἐξαρκέσει πρός ὕμνον τῶν θαυμασίων σου (ἐκ γ´). Σύ γάρ, βουλήσει ἐξ οὐκ ὄντων εἰς τό εἶναι παραγαγών τά σύμπαντα, τῷ σῷ κράτει συνέχεις τήν κτίσιν, καί τῇ σῇ

προνοίᾳ διοικεῖς τόν κόσμον. Σύ ἐκ τεσσάρων στοιχείων τήν κτίσιν συναρμόσας, τέτταρσι καιροῖς τόν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας. Σέ τρέμουσιν αἱ νοεραί πᾶσαι δυνάμεις· σέ ὑμνεῖ ἥλιος· σέ δοξάζει σελήνη· σοί ἐντυγχάνει τά ἄστρα· σοί ὑπακούει τό φῶς, σέ φρίττουσιν ἄβυσσοι· σοί δουλεύουσιν αἱ πηγαί. Σύ ἐξέτεινας τόν οὐρανόν ὡσεί δέρριν· σύ ἐστερέωσας τήν γῆν ἐπί τῶν ὑδάτων· σύ περιετείχισας τήν θάλασσαν ψάμμῳ· σύ πρός ἀναπνοάς τόν ἀέρα ἐξέχεας. Ἀγγελικαί δυνάμεις σοί λειτουργοῦσιν· οἱ τῶν ἀρχαγγέλων χοροί σέ προσκυνοῦσι· τά πολυόμματα Χερουβείμ καί τά ἑξαπτέρυγα Σεραφείμ, κύκλῳ ἱστάμενα καί περιιπτάμενα, φόβῳ τῆς ἀπροσίτου σου δόξης, κατακαλύπτεται. Σύ γάρ, Θεός ὤν ἀπερίγραπτος, ἄναρχός τε καί ἀνέκφραστος, ἦλθες επί τῆς γῆς, μορφήν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· οὐ γάρ ἔφερες, Δέσποτα, διά σπλάγχνα ἐλέους σου, θεᾶσθαι ὑπό τοῦ διαβόλου τυραννούμενον τό γένος τῶν ἀνθρώπων· αλλ᾽ ἦλθες καί ἔσωσας ἡμᾶς. Ὁμολογοῦμεν τήν χάριν, κηρύττομεν τόν ἔλεον, οὐ κρύπτομεν τήν εὐεργεσίαν· τά τῆς φύσεως ἡμῶν γονάς ἠλευθέρωσας· παρθενικήν ἡγίασας μήτραν τῷ τόκῳ σου. Πᾶσα ἡ κτίσις ὕμνησέ σε ἐπιφανέντα. Σύ γάρ, ὁ Θεός ἡμῶν, ἐπί τῆς γῆς ὤφθης, καί τοῖς ἀνθρώποις συνανεστράφης. Σύ καί τά Ἰορδάνεια ρεῖθρα ἡγίασας, οὐρανόθεν καταπέμψας τό πανάγιόν σου Πνεῦμα, καί τάς κεφαλάς τῶν ἐκεῖσε ἐμφωλευόντων συνέτριψας δρακόντων. Αὐτός οὖν, φιλάνθρωπε βασιλεῦ, πάρεσο καί νῦν διά τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος, καί ἁγίασον τό ὕδωρ τοῦτο (ἐκ γ΄)· καί δός αὐτῷ τήν χάριν τῆς ἀπολυτρώσεως, τήν εὐλογίαν τοῦ Ἰορδάνου. Ποίησον αὐτό ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, ἀγγελικῆς ἰσχύος πεπληρωμένον. Ἵνα πάντες οἱ ἀρυόμενοι καί μεταλαμβάνοντες, ἔχοιεν αὐτό πρός καθαρισμόν

ψυχῶν τε καί σωμάτων, πρός ἰατρείαν παθῶν, πρός ἁγιασμόν οἴκων, πρός πᾶσαν ὠφέλειαν ἐπιτήδειον. Σύ γάρ εἶ ὁ Θεός ἡμῶν, ὁ δι᾽ ὕδατος καί Πνεύματος ἀνακαινίσας τήν παλαιωθεῖσαν φύσιν ὑπό τῆς ἁμαρτίας. Σύ εἶ ὁ Θεός ἡμῶν, ὁ δι᾽ ὕδατος κατακλύσας ἐπί τοῦ Νῶε τήν ἁμαρτίαν. Σύ εἶ ὁ Θεός ἡμῶν, ὁ διά θαλάσσης ἐλευθερώσας ἐκ τῆς δουλείας Φαραώ, διά Μωυσέως, τό γένος τῶν ῾Εβραίων. Σύ εἶ ὁ Θεός ἡμῶν, ὁ διαρρήξας πέτραν ἐν ἐρήμῳ, καί ἐρρύησαν ὕδατα, καί χείμαρροι κατεκλύσθησαν, καί διψῶντα τόν λαόν σου κορέσας. Σύ εἶ ὁ Θεός ἡμῶν, ὁ δι᾽ ὕδατος καί πυρός, διά τοῦ ᾿Ηλιού, ἀπαλλάξας τόν ᾿Ισραήλ ἐκ τῆς πλάνης τοῦ Βάαλ. Αὐτός καί νῦν, Δέσποτα, ἁγίασον τό ὕδωρ τοῦτο, τῷ Πνεύματί σου τῷ ῾Αγίῳ (ἐκ γ´). Δός πᾶσι, τοῖς τε ἁπτομένοις, τοῖς τε χριομένοις, τοῖς τε μεταλαμβάνουσι, τόν ἁγιασμόν, τήν εὐλογίαν, τήν κάθαρσιν, τήν ὑγείαν. (Καί σῶσον, Κύριε, τούς δούλους σου, τούς πιστούς βασιλεῖς ἡμῶν. Καί φύλαξον αὐτούς ὑπό τήν σκέπην σου ἐν εἰρήνῃ· ὑπόταξον ὑπό τούς πόδας αὐτῶν πάντα ἐχθρόν καί πολέμιον· χάρισαι αὐτοῖς πάντα τά πρός σωτηρίαν αἰτήματα καί ζωήν τήν αἰώνιον.) Μνήσθητι Κύριε τοῦ ᾿Αρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), καί παντός τοῦ Πρεσβυτερίου, τῆς ἐν Χριστῷ Διακονίας, καί παντός ἱερατικοῦ τάγματος, καί τοῦ περιεστῶτος λαοῦ, καί τῶν δι᾽ εὐλόγους αἰτίας ἀπολειφθέντων ἀδελφῶν ἡμῶν, καί ἐλέησον αὐτούς καί ἡμᾶς, κατά τό μέγα σου ἔλεος. ῞Ινα καί διά στοιχείων, καί διά ἀγγέλων, καί διά ἀνθρώπων, καί διά ὁρωμένων, καί διά ἀοράτων δοξάζηταί σου τό πανάγιον ὄνομα, σύν τῷ Πατρί καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. ᾿Αμήν.

῾Ο ῾Ιερεύς· Εἰρήνη πᾶσι.

῾Ο Χορός· Καί τῷ πνεύματί σου.

῾Ο Διάκονος·

Τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοί Κύριε.

Καί ἡ Εὐχή παρά τοῦ Ἱερέως μυστικῶς·

Κλῖνον, Κύριε, τό οὖς σου καί ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καί ἁγιάσας τά ὕδατα· εὐλόγησον πάντας ἡμᾶς, τούς διά τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένων σημαίνοντας τό τῆς δουλείας πρόσχημα. Καί καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου, διά τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καί ραντισμοῦ· καί γενέσθω ἡμῖν Κύριε εἰς ὑγείαν ψυχῆς τε καί σώματος.

Ἐκφώνως·

Σύ γάρ εἶ ὁ ἁγιασμός τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, καί σοί τήν δόξαν, καί εὐχαριστίαν, καί προσκύνησιν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί εὐθύς, εὐλογῶν τά ὕδτα σταυροειδῶς, βαπτίζει τόν τίμιον Σταυρόν, ὄρθιον αὐτόν κατάγων ἐν τῷ ὕδατι καί ἀνάγων, ψάλλων καί τό παρόν Τροπάριον·

Ἦχος α΄.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γάρ γεννήτορος ἡ φωνή προσεμαρτύρει σοι, ἀγαπητόν σε υἱόν ὀνομάζουσα· καί τό Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τό ἀσφαλές. Ὁ ἐπιφανείς Χριστέ ὁ Θεός, καί τόν κόσμον φωτίσας, δόξα σοι. (ἐκ τρίτου)

Καί ραντίζει τόν Λαόν ἐκ τοῦ ὕδατος, ψάλλων·

Κοντάκιον. Ἦχος δ΄. Αὐτόμελον.

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ, καί τό φῶς σου, Κύριε, ἐσημειώθη ἐφ᾿ ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε· Ἦλθες ἐφάνης, τό φῶς τό ἀπρόσιτον.

Ραντιζομένων ὑπό τοῦ Ἱερέως τῶν χριστιανῶν, προσερχομένων καί ἀσπαζομένων τόν τίμιον Σταυρόν, ψάλλεται τό ἑπόμενον·

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ἀνυμνήσωμεν οἱ πιστοί, τῆς περί ἡμᾶς τοῦ Θεοῦ οἰκονομίας τό μέγεθος· ἐν γάρ τῷ ἡμῶν παραπτώματι, γενόμενος ἄνθρωπος, τήν ἡμῶν κάθαρσιν καθαίρεται ἐν τῷ Ἰορδάνῃ, ὁ μόνος καθαρός καί ἀκήρατος, ἁγιάζων ἐμέ καί τά ὕδατα, καί τάς κεφαλάς τῶν δρακόντων συντρίβων ἐπί τοῦ ὕδατος. Ἀντλήσωμεν οὖν ὕδωρ, μετ᾽ εὐφροσύνης ἀδελφοί· ἡ γάρ χάρις τοῦ Πνεύματος, τοῖς πιστῶς ἀντλοῦσιν, ἀοράτως ἐπιδίδοται, παρά Χριστοῦ τοῦ Θεοῦ, καί Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Μετ᾽ αὐτό· Εὐλογία Κυρίου καί ἔλεος καί ἡ Ἀπόλυσις οὕτω·

Δόξα σοι.... ὁ ἐν Ἰορδάνῃ ὑπό Ἰωάννου βαπτισθῆναι καταδεξάμενος διά τήν ἡμῶν σωτηρίαν Χριστός ὁ ἀληθινός Θεός ἡμῶν....Δι᾽ εὐχῶν........

Δίδοται τό Κατακλαστόν (Ἀντίδωρον).


ὕδωρ ἁλλόμενον
εἰς ζωὴν αἰώνιον

# H AKOL OYUIA

# TOY MEGALOY ES-PERINOY

῾Ο ῾Ιερεύς·

Εὐλογητός ὁ Θεός ἡμῶν, πάντοτε· νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων·

Μετά τόν Προοιμιακόν Ψαλμόν, Συναπτή μεγάλη ὑπό τοῦ Διακόνου εἰ ἔστιν· εἰδέ μή, ὑπό τοῦ ῾Ιερέως.

᾿Εν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῆς ἄνωθεν εἰρήνης καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ᾿Εκκλησιῶν καί τῆς τῶν πάντων ἑνώσεως τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῶν τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ ᾿Αρχιεπισκόπου ἡμῶν (δεῖνος) τοῦ τιμίου Πρεσβυτερίου τῆς ἐν Χριστῷ Διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ εὐσεβοῦς ἡμῶν ῎Εθνους, πάσης ᾿Αρχῆς καί ᾿Εξουσίας ἐν αὐτῷ, τοῦ κατά ξηράν, θάλασσαν καί ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῆς πόλεως (ἤ τῆς χώρας, ἤ τῆς κώμης, ἤ τῆς νήσου ἤ τῆς ἁγίας Μονῆς) ταύτης, πάσης πόλεως, χώρας, καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τήν χάριν τοῦ ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῶν κλινόντων τάς καρδίας αὐτῶν ἐνώπιον Κυρίου, καί τά γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ ἐνισχυθῆναι ἡμᾶς πρός τελείωσιν εὐαρεστήσεως, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ καταπεμφθῆναι πλούσια τά ἐλέη αὐτοῦ ἐφ᾿ ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ δεχθῆναι τήν γονυκλισίαν ἡμῶν, ὡς θυμίαμα ἐνώπιον αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τῶν χρῃζόντων τῆς παρ᾿ αὐτοῦ βοηθείας, τοῦ Κυρίου δεηθῶμεν.

῾Υπέρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπό πάσης θλίψεως ὀργῆς, κινδύνου καί ἀνάγκης τοῦ Κυρίου δεηθῶμεν.

᾿Αντιλαβοῦ σῶσον, ἐλέησον καί διαφύλαξον ἡμᾶς ὁ Θεός τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ῾Αγίων μνημονεύσαντες, ἑαυτούς, καί ἀλλήλους, καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

῾Ο Χορός· Σοί, Κύριε.

῾Ο ῾Ιερεύς·

῞Οτι πρέπει σοι πᾶσα δόξα, τιμή καί προσκύνησις, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ῾Αγίῳ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Εἰς τό, Κύριε ἐκέκραξα... ἱστῶμεν Στίχους ς´ καί ψάλλομεν τά παρόντα Στιχηρά ᾿Ιδιόμελα γ´, δευτεροῦντες αὐτά.

Ἦχος δ΄.

Παράδοξα σήμερον, εἶδον τά ἔθνη πάντα ἐν πόλει Δαυῒδ, ὅτε τό Πνεῦμα κατῆλθε τό Ἅγιον ἐν πυρίναις γλώσσαις, καθώς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. Φησί γάρ· Συνηγμένων τῶν μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος, καθάπερ φερομένης βιαίας πνοῆς καί ἐπλήρωσε τόν οἶκον, οὗ ἦσαν καθήμενοι· καί πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ρήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς ἁγίας Τριάδος. (δίς).

Τό Πνεῦμα τό ἅγιον, ἦν μέν ἀεί, καί ἔστι, καί ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ᾽ ἀεί Πατρί καί Υἱῷ συντεταγμένον, καί συναριθμούμενον· ζωή, καί ζωοποιοῦν· φῶς, καί φωτός χορηγόν· αὐτάγαθον, καί πηγή ἀγαθότητος· δι᾽ οὗ Πατήρ γνωρίζεται, καί Υἱός δοξάζεται, καί παρά πάντων γινώσκεται, μία δύναμις, μία σύνταξις, μία προσκύνησις, τῆς ἁγίας Τριάδος. (δίς).

Τό Πνεῦμα τό ἅγιον, φῶς καί ζωή, καί ζῶσα πηγή νοερά. Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, ἀγαθόν, εὐθές, νοερόν, ἡγεμονεῦον, καθαῖρον τά πταίσματα. Θεός, καί θεοποιοῦν· πῦρ, ἐκ πυρός προϊόν, λαλοῦν ἐνεργοῦν, διαιροῦν τά χαρίσματα· δι᾽ οὗ προφῆται ἅπαντες, καί Θεοῦ ἀπόστολοι, μετά μαρτύρων ἐστέφθησαν. Ξένον ἄκουσμα, ξένον θέαμα, πῦρ διαιρούμενον, εἰς νομάς χαρισμάτων. (δίς).

Δόξα πατρί. Καί νῦν. Ἦχος πλ. β΄.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τό Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καί τά πάντα πληρῶν, ὁ θησαυρός τῶν ἀγαθῶν, καί ζωῆς χορηγός· ἐλθέ, καί σκήνωσον ἐν ἡμῖν, καί καθάρισον ἡμᾶς ἀπό πάσης κηλῖδος, καί σῶσον ἀγαθέ τάς ψυχάς ἡμῶν.

Εἴσοδος μετά θυμιατοῦ.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεύς·

Ἐσπέρας καί πρωί καί μεσημβρίας, αἰνοῦμεν, εὐλογοῦμεν, εὐχαριστοῦμεν, καί δεόμεθά σου, Δέσποτα τῶν ἁπάντων, φιλάνθρωπε Κύριε. Κατεύθυνον τήν προσευχήν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καί μή ἐκκλίνῃς τάς καρδίας ἡμῶν εἰς λόγους ἤ εἰς λογισμούς πονηρίας, ἀλλά ρῦσαι ἡμᾶς ἐκ πάντων τῶν θηρευόντων τάς ψυχάς ἡμῶν· ὅτι πρός σέ, Κύριε, Κύριε, οἱ ὀφθαλμοί ἡμῶν, καί ἐπί σοί ἠλπίσαμεν· μή καταισχύνῃς ἡμᾶς, ὁ Θεός ἡμῶν.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καί προσκύνησις, τῷ Πατρί, καί τῷ Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι, νῦν, καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα, τήν ἁγίαν Εἴσοδον.

Ὁ Ἱερεύς, εὐλογῶν, λέγει·

Εὐλογημένη ἡ Εἴσοδος τῶν ἁγίων σου, πάντοτε· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος θυμιάσας, ἐξ οὗ ἵσταται, τάς ἁγίας εἰκόνας καί τόν Ἱερέα ἐκφωνεῖ·

Σοφία· ὀρθοί.

Ἡ ἐπιλύχνιος Εὐχαριστία, τό· Φῶς ἱλαρόν..., ὅπερ, διά τό Μέγα Προκείμενον, ψάλλεται ὁλόκληρον ἐμμελῶς ἐκτός τοῦ ἱεροῦ Βήματος.

Ὁ Διάκονος· Ἑσπέρας Προκείμενον.

Οἱ Ἱερεῖς ἐν χορῷ, ἤ οἱ Ψάλται ψάλλουσι τό Μέγα Προκείμενον.

Ἦχος βαρύς.

Τίς Θεός μέγας, ὡς ὁ Θεός ἡμῶν; σύ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. α΄. Ἐγνώρισας ἐν τοῖς λαοῖς τήν δύναμίν σου.

Τίς Θεός μέγας, ὡς ὁ Θεός ἡμῶν; σύ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. β΄. Καί εἶπα· νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Τίς Θεός μέγας, ὡς ὁ Θεός ἡμῶν; σύ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. γ΄. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπό τῆς ἀρχῆς τῶν θαυμασίων σου.

Τίς Θεός μέγας, ὡς ὁ Θεός ἡμῶν; σύ εἶ ὁ Θεός, ὁ ποιῶν θαυμάσια μόνος.

Εἰσελθόντες δέ ἐν τῷ ἱερῷ βήματι, λέγει ὁ Διάκονος·

Ἔτι καί ἔτι, κλίναντες τά γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καί ἡμῶν κλινόντων τά γόνατα ἐπί γῆς, καί ἀσκεπῶν ὄντων, ὁ Ἱερεύς ἀναγινώσκει ἀπό τῆς Ὡραίας Πύλης, βλέπων πρός τόν Λαόν, τάς Εὐχάς μεγαλοφώνως εἰς ἐπήκοον πάντων.

Ἄχραντε, ἀμίαντε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀνεξιχνίαστε, ἀναλλοίωτε, ἀνυπέρβλητε, ἄμέτρητε, ἀνεξίκακε Κύριε· ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ ποιήσας τόν οὐρανόν, καί τήν γῆν, καί τήν θάλασσαν, καί πάντα τά δημιουργηθέντα ἐν αὐτοῖς· ὁ πρό τοῦ αἰτεῖσθαι τοῖς πᾶσι τάς αἰτήσεις παρέχων· Σοῦ δεόμεθα καί σέ παρακαλοῦμεν, Δέσποτα φιλάνθρωπε, τόν Πατέρα τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δι᾽ ἡμᾶς τούς ἀνθρώπους, καί διά τήν ἡμετέραν σωτηρίαν κατελθόντος ἐκ τῶν οὐρανῶν, καί σαρκωθέντως ἐκ Πνεύματος ἁγίου, καί Μαρίας τῆς ἀειπαρθένου, καί ἐνδόξου Θεοτόκου· ὅς πρότερον μέν λόγοις διδάσκων, ὕστερον δέ καί ἔργοις ὑποδεικνύς, ἡνίκα τό σωτήριον ὑφίστατο πάθος, παρέσχεν ἡ-

μῖν ὑπογραμμόν τοῖς ταπεινοῖς, καί ἁμαρτωλοῖς, καί ἀναξίοις δούλοις σου, δεήσεις προσφέρειν ἐν αὐχένος καί γονάτων κλίσεσιν, ὑπέρ τῶν ἰδίων ἁμαρτημάτων, καί τῶν τοῦ λαοῦ ἀγνοημάτων. Αὐτός οὖν, πολυέλεε καί φιλάνθρωπε, ἐπάκουσον ἡμῶν, ἐν ᾗ ἄν ἡμέρᾳ ἐπικαλεσώμεθά σε· ἐξαιρέτως δέ, ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς Πνεντηκοστῆς, ἐν ᾗ, μετά τό ἀναληφθῆναι τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν εἰς τούς οὐρανούς, καί καθεσθῆναι ἐν δεξιᾷ σοῦ, τοῦ Θεοῦ καί Πατρός, κατέπεμψε τό ἅγιον Πνεῦμα ἐπί τούς ἁγίους αὐτοῦ μαθητάς καί Ἀποστόλους· ὅ καί ἐκάθισεν ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν καί ἐπλήσθησαν ἅπαντες τῆς ἀκενώτου χάριτος αὐτοῦ, καί ἐλάλησαν ἑτέραις γλώσσαις τά μεγαλεῖά σου, καί προεφήτευσαν. Νῦν οὖν δεομένων ἐπάκουσον ἡμῶν, καί μνήσθητι ἡμῶν τῶν ταπεινῶν, καί κατακρίτων, καί ἐπίστρεψον τήν αἰχμαλωσίαν τῶν ψυχῶν ἡμῶν, τήν οἰκείαν συμπάθειαν ἔχων ὑπέρ ἡμῶν πρεσβεύουσαν. Δέξαι ἡμᾶς προσπίπτοντάς σοι, καί βοῶντας τό, Ἡμάρτομεν. Ἐπί σέ ἐπερρίφημεν ἐκ μήτρας ἀπό γαστρός μητρός ἡμῶν, Θεός ἡμῶν σύ εἶ· ἀλλ᾽ ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν, γεγυμνώμεθα τῆς σῆς βοηθείας, ἐστερήμεθα ἀπό πάσης ἀπολογίας. Ἀλλά θαρροῦντες τοῖς οἰκτιρμοῖς σου, κράζομεν· Ἁμαρτίας νεότητος ἡμῶν, καί ἀγνοίας μή μνησθῇς, καί ἐκ τῶν κρυφίων ἡμῶν καθάρισον ἡμᾶς. Μή ἀπορρίψῃς ἡμᾶς εἰς καιρόν γήρως· ἐν τῷ ἐκλείπειν τήν ἰσχύν ἡμῶν, μή ἐγκαταλίπῃς ἡμᾶς· πρίν ἡμᾶς εἰς τήν γῆν ἀποστρέψαι, ἀξίωσον πρός σέ ἐπιστρέψαι, καί πρόσχες ἡμῖν ἐν εὐμενείᾳ καί χάριτι. Ἐπιμέτρησον τάς ἀνομίας ἡμῶν τοῖς οἰκτιρμοῖς σου· ἀντίθες τήν ἄβυσσον τῶν οἰκτιρμῶν σου, τῷ πλήθει τῶν πλημμελημάτων ἡμῶν. Ἐπίβλεψον ἐξ ὕψους ἁγίου σου, Κύριε, ἐπί τόν λαόν σου τόν περιεστῶτα, καί ἀπεκδεχόμενον τό παρά σοῦ πλούσιον ἔλεος· ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου· ρῦσαι ἡμᾶς ἐκ τῆς καταδυναστείας τοῦ Διαβόλου· ἀσφάλισαι τήν ζωήν ἡμῶν τοῖς ἁγίοις καί ἱεροῖς νόμοις σου. Ἀγγέλῳ

πιστῷ φύλακι παρακατάθου τόν λαόν σου· πάντας ἡμᾶς συνάγαγε εἰς τήν βασιλείαν σου· δός συγγνώμην τοῖς ἐλπίζουσιν ἐπί σέ· ἄφες αὐτοῖς καί ἡμῖν τά ἁμαρτήματα· καθάρισον ἡμᾶς τῇ ἐνεργείᾳ τοῦ Ἁγίου σου Πνεύματος· διάλυσον τάς καθ᾽ ἡμῶν μηχανάς τοῦ ἐχθροῦ.

Ἐπισυνάπτει καί ταύτην τήν Εὐχήν.

Εὐλογητός εἶ, Κύριε, Δέσποτα παντοκράτορ, ὁ φωτίσας τήν ἡμέραν τῷ φωτί τῷ ἡλιακῷ καί τήν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός· ὁ τό μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας καί προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός, ἐπάκουσον τῆς δεήσεως ἡμῶν καί παντός τοῦ λαοῦ σου· καί πᾶσιν ἡμῖν συγχωρήσας τά ἑκούσια καί τά ἀκούσια ἁμαρτήματα, πρόσδεξαι τάς ἑσπερινάς ἡμῶν ἱκεσίας καί κατάπεμψον τό πλῆθος τοῦ ἐλέους σου καί τῶν οἰκτιρμῶν σου ἐπί τήν κληρονομίαν σου. Τείχισον ἡμᾶς ἁγίοις Ἀγγέλοις σου· ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου· περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου· φρούρησον ἡμᾶς τῇ δυνάμει σου· ρῦσαι ἡμᾶς ἐκ πάσης περιστάσεως, καί πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. Παράσχου δέ ἡμῖν καί τήν παροῦσαν ἑσπέραν, σύν τῇ ἐπερχομένῃ νυκτί, τελείαν, ἁγίαν, εἰρηνικήν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφάνταστον, καί πάσας τάς ἡμέρας τῆς ζωῆς ἡμῶν· πρεσβείαις τῆς ἁγίας Θεοτόκου, καί πάντων τῶν Ἁγίων τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεύς ἐκφώνως·

Σόν γάρ ἐστι τό ἐλεεῖν καί σῴζειν ἡμᾶς Χριστέ ὁ Θεός ἡμῶν καί σοί τήν δόξαν ἀναπέμπομεν τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος·

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς, καί ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε, παντοκράτορ, ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός κατά τό μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καί ἐλέησον.

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καί μοναχῶν, καί πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπέρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καί ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καί ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καί παρεπιδημούντων ἐν τῇ πόλει (ἤ τῇ χώρᾳ, ἤ τῇ κώμῃ, ἤ τῇ νήσῳ) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καί ἀφιερωτῶν τῆς ἁγίας Ἐκκλησίας ταύτης (ἤ τῶν ἀδελφῶν τῆς ἱερᾶς Μονῆς ταύτης καί τῶν εὐλαβῶν προσκυνητῶν).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀειμνήστων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας (ἤ τῆς Μονῆς) ταύτης, καί ὑπέρ πάντων τῶν προαναπαυσαμένων πατέρων καί ἀδελφῶν ἡμῶν τῶν ἐνθάδε εὐσεβῶς κειμένων, καί ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καί καλλιεργούντων ἐν τῷ ἁγίῳ καί πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καί ὑπέρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τό παρά σοῦ μέγα καί πλούσιον ἔλεος.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι ἐλεήμων καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος·

Ἔτι καί ἔτι, κλίναντες τά γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καί ὁ Ἱερεύς ἐπεύχεται·

**Κ**ύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ὁ τήν σήν εἰρήνην δεδωκώς τοῖς ἀνθρώποις καί τήν τοῦ παναγίου Πνεύματος δωρεάν, ἔτι τῷ βίῳ καί ἡμῖν συμπαρών, εἰς κληρονομίαν ἀναφαίρετον τοῖς πιστοῖς ἀεί παρέχων, ἐμφανέστερον δέ ταύτην τήν χάριν τοῖς σοῖς μαθηταῖς καί Ἀποστόλοις σήμερον καταπέμψας, καί τά τούτων χείλη πυρίναις στομώσας γλώσσαις, δι᾿ ὧν πᾶν γένος ἀνθρώπων τήν θεογνωσίαν, ἰδίᾳ διαλέκτῳ εἰς ἀκοήν ὠτίου δεξάμενοι, φωτί τοῦ Πνεύματος ἐφωτίσθημεν, καί τῆς πλάνης ὡς ἐκ σκότος ἀπηλλάγημεν, καί τῇ τῶν αἰσθητῶν καί πυρίνων γλωσσῶν διανομῇ καί ὑπερφυεῖ ἐνεργείᾳ, τήν εἰς σέ πίστιν ἐμαθητεύθημεν, καί σέ θεολογεῖν, σύν τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι, ἐν μιᾷ Θεότητι, καί δυνάμει, καί ἐξουσίᾳ κατηυγάσθημεν. Σύ οὖν τό ἀπαύγασμα τοῦ Πατρός, ὁ τῆς οὐσίας καί τῆς φύσεως αὐτοῦ ἀπαράλλακτος καί ἀμετακίνητος χαρακτήρ, ἡ πηγή τῆς σωτηρίας καί τῆς χάριτος, διάνοιξον κἀμοῦ τοῦ ἁμαρτωλοῦ τά χείλη, καί δίδαξόν με πῶς δεῖ, καί ὑπέρ ὧν χρή προσεύχεσθαι. Σύ γάρ εἶ, ὁ γινώσκων τό πολύ τῶν ἁμαρτιῶν μου πλῆθος, ἀλλ᾿ ἡ σή εὐσπλαχνία νικήσει τούτων τό ἄμετρον· ἰδού γάρ φόβῳ παρίσταμαί σοι, εἰς τό πέλαγος τοῦ ἐλέους σου τήν ἀπόγνωσιν ἀπορρίψας τῆς ψυχῆς μου. Κυβέρνησόν μου τήν ζωήν, ὁ πᾶσαν ρήματι τήν κτίσιν ἀρρήτῳ σοφίας

δυνάμει κυβερνῶν, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν, καί γνώρισόν μοι ὁδόν ἐν ᾗ πορεύσομαι. Πνεῦμα σοφίας σου τοῖς ἐμοῖς παράσχου διαλογισμοῖς, Πνεῦμα συνέσεως τῇ ἀφροσύνῃ μου δωρούμενος· Πνεῦμα φόβου σου τοῖς ἐμοῖς ἐπισκίασον ἔργοις· καί Πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· καί Πνεύματι ἡγεμονικῷ τό τῆς διανοίας μου στήριξον ὀλισθηρόν· ἵνα καθ᾽ ἑκάστην ἡμέραν, τῷ Πνεύματί σου τῷ ἀγαθῷ, πρός τό συμφέρον ὁδηγούμενος, καταξιωθῶ ποιεῖν τάς ἐντολάς σου, καί τῆς σῆς ἀεί μνημονεύειν ἐνδόξου, καί ἐρευνητικῆς τῶν πεπραγμένων ἡμῖν παρουσίας· καί μή παρίδῃς με τοῖς φθειρομένοις τοῦ κόσμου ἐναπατᾶσθαι τερπνοῖς, ἀλλά τῶν μελλόντων ὀρέγεσθαι τῆς ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν. Σύ γάρ εἶπας, Δέσποτα, ὅτι περ, ὅσα ἄν τις αἰτήσηται ἐν τῷ ὀνόματί σου, ἀκωλύτως παρά τοῦ σοῦ λαμβάνει συναϊδίου Θεοῦ καί Πατρός· διό κἀγώ ὁ ἁμαρτωλός, ἐν τῇ ἐπιφοιτήσει τοῦ ἁγίου σου Πνεύματος, τήν σήν ἱκετεύω ἀγαθότητα· Ὅσα ηὐξάμην, ἀπόδος μοι εἰς σωτηρίαν. Ναί, Κύριε, ὁ πάσης εὐεργεσίας πλουσιοπάροχος δοτήρ ἀγαθός· ὅτι σύ εἶ ὁ διδούς ὑπερεκπερισσοῦ, ὧν αἰτούμεθα. Σύ εἶ ὁ συμπαθής, ὁ ἐλεήμων, ὁ ἀναμαρτήτως γεγονώς τῆς σαρκός ἡμῶν κοινωνός, καί τοῖς κάμπτουσι πρός σέ γόνυ, ἐπικαμπτόμενος φιλευσπλάγχνως, ἱλασμός τε γενόμενος τῶν ἁμαρτιῶν ἡμῶν. Δός δή, Κύριε, τῷ λαῷ σου τούς οἰκτιρμούς σου· ἐπάκουσον ἡμῶν ἐξ οὐρανοῦ ἁγίου σου· ἁγίασον αὐτούς τῇ δυνάμει τῆς σωτηρίου δεξιᾶς σου· σκέπασον αὐτούς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· μή παρίδῃς τά ἔργα τῶν χειρῶν σου· Σοί μόνῳ ἁμαρτάνομεν, ἀλλά καί σοί μόνῳ λατρεύομεν· οὐκ οἴδαμεν προσκυνεῖν Θεῷ ἀλλοτρίῳ, οὐδέ διαπετάζειν πρός ἕτερον θεόν τάς ἑαυτῶν, Δέσποτα, χεῖρας. Ἄφες ἡμῖν τά παραπτώματα· καί προσδεχόμενος ἡμῶν τάς γονυπετεῖς δεήσεις, ἔκτεινον πᾶσιν ἡμῖν χεῖρα βοηθείας· πρόσδεξαι τήν εὐχήν πάντων, ὡς θυμίαμα δεκτόν, ἀναλαμβανόμενον ἐνώπιον τῆς σῆς ὑπερα-

γάθου βασιλείας.

Ἐπισυνάπτει καί ταύτην· (Τοῦ Μεγάλου Βασιλείου).

Κύριε, Κύριε, ὁ ρυσάμενος ἡμᾶς ἀπό παντός βέλους πετομένου ἡμέρας, ρῦσαι ἡμᾶς καί ἀπό παντός πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν ἑσπερινήν, τάς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δέ ἡμᾶς, καί τό νυκτερινόν στάδιον ἀμέμπτως διελθεῖν, ἀπειράστους κακῶν· καί λύτρωσαι ἡμᾶς ἀπό πάσης ταραχῆς καί δειλίας, τῆς ἐκ τοῦ Διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καί τοῖς λογισμοῖς ἡμῶν μέριμναν, τῆς ἐν τῇ φοβερᾷ καί δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τάς σάρκας ἡμῶν, καί νέκρωσον τά μέλη ἡμῶν τά ἐπί τῆς γῆς· ἵνα, καί ἐν τῇ καθ᾿ ὕπνον ἡσυχίᾳ, ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον δέ ἀφ᾿ ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, καί ἐπιθυμίαν βλαβεράν. Διανάστησον δέ ἡμᾶς ἐν τῷ καιρῷ τῆς προσευχῆς ἐστηριγμένους ἐν τῇ πίστει, καί προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου.

Ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεύς ἐκφώνως·

Εὐδοκίᾳ, καί χάριτι τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾿ οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ, καί ἀγαθῷ, καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Προεστώς ἤ ὁ Ἀναγνώστης, ἀναγινώσκει τό·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητός εἶ, Κύριε, ὁ Θεός τῶν Πατέρων ἡμῶν, καί αἰνετόν καί δεδοξασμένον τό ὄνομά σου εἰς τούς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τό ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπί σέ. Εὐλογητός εἶ, Κύριε, δίδαξόν με τά διακιώματά σου. Εὐλογητός εἶ, Δέσποτα, συνέτισόν με τά δικαιώματά σου. Εὐλογητός εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου· Κύριε, τό ἔλεός σου εἰς τόν αἰῶνα, τά ἔργα τῶν χειρῶν σου μή παρίδῃς. Σοί πρέπει αἶνος, σοί πρέπει ὕμνος, σοί δόξα πρέπει τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μετά δέ τοῦτο, λέγει ὁ Διάκονος·

Ἔτι καί ἔτι, κλίναντες τά γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καί ὁ Ἱερεύς τήν Εὐχήν·

Ἡ ἀενάως βρύουσα ζωτική καί φωτιστική πηγή, ἡ συναΐδιος τοῦ Πατρός δημιουργική δύναμις, ὁ πᾶσαν τήν οἰκονομίαν, διά τήν τῶν βροτῶν σωτηρίαν, ὑπερκάλλως πληρώσας, Χριστέ, ὁ Θεός ἡμῶν· ὁ θανάτου δεσμούς ἀλύτους, καί κλεῖθρα ᾅδου δι- αρρήξας, πονηρῶν δέ πνευμάτων πλήθη καταπατήσας· ὁ προσαγαγών σεαυτόν ἄμωμον ὑπέρ ἡμῶν ἱερεῖον, τό σῶμα δούς τό ἄχραντον εἰς θυσίαν, τό πάσης ἁμαρτίας ἄψαυστόν τε καί ἄβατον, καί διά τῆς φρικτῆς ταύτης, καί ἀνεκδιηγήτου ἱερουργίας, ζωήν ἡμῖν αἰώνιον χαρισάμενος· ὁ εἰς ᾅδου καταβάς, καί μοχλούς αἰωνίους συντρίψας, καί τοῖς κάτω καθημένοις ἄνοδον ὑποδείξας· τόν δέ ἀρχέκακον καί βύθιον δράκοντα, θεοσόφῳ δελεάσματι ἀγκιστρεύσας, καί σειραῖς ζόφου δεσμεύσας ἐν ταρτάρῳ, καί πυρί ἀσβέστῳ, καί σκότῳ, ἐξωτέρῳ, διά τῆς ἀπειροδυνάμου σου κατασφαλισάμενος ἰσχύος· ἡ μεγαλώνυμος σοφία τοῦ Πατρός· ὁ τοῖς ἐπηρεαζομένοις μέγας ἐπίκουρος φανείς, καί φωτίσας τούς ἐν σκότει, καί σκιᾷ θανάτου καθημέ-

νους· Σύ, δόξης ἀενάου Κύριε, καί Πατρός ὑψίστου Υἱέ ἀγαπητέ· ἀΐδιον φῶς, ἐξ ἀϊδίου φωτός· Ἥλιε δικαιοσύνης, ἐπάκουσον ἡμῶν δεομένων σου, καί ἀνάπαυσον τάς ψυχάς τῶν δούλων σου, τῶν προκεκοιμημένων πατέρων καί ἀδελφῶν ἡμῶν, καί τῶν λοιπῶν συγγενῶν κατά σάρκα, καί πάντων τῶν οἰκείων τῆς πίστεως, περί ὧν καί τήν μνήμην ποιούμεθα νῦν· ὅτι ἐν σοί πάντων τό κράτος, καί ἐν τῇ χειρί σου κατέχεις πάντα τά πέρατα τῆς γῆς. Δέσποτα παντοκράτορ, Θεέ Πατέρων, καί Κύριε τοῦ ἐλέους, γένους θνητοῦ τε καί ἀθανάτου, καί πάσης φύσεως ἀνθρωπίνης δημιουργέ, συνισταμένης τε καί πάλιν λυομένης, ζωῆς τε καί τελευτῆς, τῆς ἐνταῦθα διαγωγῆς, καί τῆς ἐκεῖθεν μεταστάσεως· ὁ χρόνους μετρῶν τοῖς ζῶσι, καί καιρούς θανάτου ἱστῶν, κατάγων εἰς Ἅδου καί ἀνάγων, δεσμεύων ἐν ἀσθενείᾳ, καί ἀπολύων ἐν δυναστείᾳ· ὁ τά παρόντα χρησίμως οἰκονομῶν, καί τά μέλλοντα λυσιτελῶς διοικῶν· ὁ τούς θανάτου κέντρῳ πληγέντας, ἀναστάσεως ἐλπίσι ζωογονῶν. Αὐτός Δέσποτα τῶν ἁπάντων, ὁ Θεός, ὁ Σωτήρ ἡμῶν, ἡ ἐλπίς πάντων τῶν περάτων τῆς γῆς, καί τῶν ἐν θαλάσσῃ μακράν, ὁ καί ἐν ταύτῃ τῇ ἐσχάτῃ, καί μεγάλῃ καί σωτηρίῳ ἡμέρᾳ τῆς Πεντηκοστῆς, τό μυστήριον τῆς ἁγίας, καί ὁμοουσίου, καί συναϊδίου, καί ἀδιαιρέτου, καί ἀσυγχύτου Τριάδος ὑποδείξας ἡμῖν, καί τήν ἐπιφοίτησιν καί παρουσίαν τοῦ ἁγίου καί ζωοποιοῦ σου Πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν, ἐπί τούς ἁγίους σου Ἀποστόλους ἐκχέας, καί εὐαγγελιστάς αὐτούς θέμενος τῆς εὐσεβοῦς ἡμῶν πίστεως, καί ὁμολογητάς καί κήρυκας τῆς ἀληθοῦς ἀναδείξας θεολογίας· ὁ καί ἐν αὐτῇ τῇ παντελείῳ ἑορτῇ καί σωτηριώδει, ἱλασμούς ἱκεσίους, ὑπέρ τῶν κατεχομένων ἐν ᾅδῃ, καταξιώσας δέχεσθαι, μεγάλας τε παρέχων ἡμῖν ἐλπίδας, ἄνεσιν τοῖς κατοιχομένοις τῶν κατεχόντων αὐτούς ἀνιαρῶν, καί παραψυχήν παρά σοῦ καταπέμπεσθαι. Ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν, καί οἰκτρῶν δεομένων σου· καί ἀνάπαυσον τάς ψυχάς τῶν δούλων σου

τῶν προκεκοιμημένων, ἐν τόπῳ φωτεινῷ ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καί στεναγμός· καί κατάταξον τά πνεύματα αὐτῶν ἐν σκηναῖς Δικαίων, καί εἰρήνης καί ἀνέσεως ἀξίωσον αὐτούς· ὅτι οὐχ οἱ νεκροί αἰνέσουσί σε, Κύριε, οὐδέ οἱ ἐν Ἅδῃ ἐξομολόγησιν παρρησιάζονται προσφέρειν σοι, ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλογοῦμέν σε καί ἱκετεύομεν, καί τάς ἱλαστηρίους εὐχάς καί θυσίας προσάγομέν σοι ὑπέρ τῶν ψυχῶν αὐτῶν.

Ἐπισυνάπτει καί ταύτην τήν Εὐχήν·

Ὁ Θεός ὁ μέγας καί αἰώνιος, ὁ ἅγιος καί φιλάνθρωπος, ὁ καταξιώσας ἡμᾶς καί ἐν ταύτῃ τῇ ὥρᾳ στῆναι ἐνώπιον τῆς ἀπροσίτου σου δόξης, εἰς ὕμνον καί αἶνον τῶν θαυμασίων σου, ἱλάσθητι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου· καί παράσχου χάριν, τοῦ μετά συντετριμμένης καρδίας ἀμετεωρίστως προσενεγκεῖν σοι τήν τρισάγιον δοξολογίαν, καί τήν εὐχαριστίαν τῶν μεγάλων σου δωρεῶν, ὧν ἐποίησας καί ποιεῖς πάντοτε εἰς ἡμᾶς. Μνήσθητι, Κύριε, τῆς ἀσθενείας ἡμῶν, καί μή συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλά ποίησον μέγα ἔλεος μετά τῆς ταπεινώσεως ἡμῶν· ἵνα, τό τῆς ἁμαρτίας σκότος διαφυγόντες, ἐν ἡμέρᾳ δικαιοσύνης περιπατήσωμεν· καί ἐνδυσάμενοι τά ὅπλα τοῦ φωτός, ἀνεπιβουλεύτως διατελέσωμεν ἀπό πάσης ἐπηρείας τοῦ πονηροῦ, καί μετά παρρησίας δοξάσωμεν ἐπί πᾶσι, σέ τόν μόνον ἀληθινόν καί φιλάνθρωπον Θεόν. Σόν γάρ ὡς ἀληθῶς, καί μέγα ὄντως μυστήριον, Δέσποτα τῶν ἁπάντων καί ποιητά, ἥ τε πρόσκαιρος λύσις τῶν σῶν κτισμάτων καί ἡ μετά ταῦτα συνάφεια, καί ἀνάπαυσις ἡ εἰς αἰῶνας. Σοί χάριν ἐν πᾶσιν ὁμολογοῦμεν, ἐπί ταῖς εἰσόδοις ἡμῶν ταῖς εἰς τόν κόσμον τοῦτον, καί ταῖς ἐξόδοις, αἵ τάς ἐλπίδας ἡμῶν τῆς ἀναστάσεως, καί τῆς ἀκηράτου ζωῆς, διά τῆς σῆς ἀψευδοῦς ἐπαγγελίας προμνηστεύονται· ἧς ἀπολάσαιμεν ἐν τῇ δευτέρᾳ μελλούσῃ παρουσίᾳ σου. Σύ γάρ εἶ καί τῆς ἀναστάσεως ἡ-

μῶν ἀρχηγός, καί τῶν βεβιωμένων ἀδέκαστος, καί φιλάνθρωπος κριτής, καί τῆς μισθαποδοσίας Δεσπότης καί Κύριος· ὁ καί κοινωνήσας ἡμῖν παραπλησίως σαρκός καί αἵματος, διά συγκατάβασιν ἄκραν, καί τῶν ἡμετέρων ἀδιαβλήτων παθῶν, ἐν τῷ ἑκουσίως εἰς πεῖραν καταστῆναι, προσλαβόμενος σπλάγχνα οἰκτιρμῶν καί ἐν ᾧ πέπονθας πειρασθείς αὐτός, τοῖς πειραζομένοις ἡμῖν γενόμενος αὐτεπάγγελτος βοηθός· διό καί συνήγαγες ἡμᾶς εἰς τήν σήν ἀπάθειαν. Δέξαι οὖν, Δέσποτα, δεήσεις καί ἱκεσίας ἡμετέρας, καί ἀνάπαυσον πάντας τούς πατέρας ἑκάστου, καί μητέρας, καί ἀδελφούς καί ἀδελφάς καί τέκνα, καί εἴ τι ἄλλο ὁμογενές καί ὁμόφυλον, καί πάσας τάς προαναπαυσαμένας ψυχάς ἐπ᾽ ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου· καί κατάταξον τά πνεύματα αὐτῶν καί τά ὀνόματα ἐν βίβλῳ ζωῆς, ἐν κόλπος Ἀβραάμ, Ἰσαάκ καί Ἰακώβ, ἐν χώρᾳ ζώντων, εἰς βασιλείαν οὐρανῶν, ἐν Παραδείσῳ τρυφῆς, διά τῶν φωτεινῶν Ἀγγέλων σου εἰσάγων ἅπαντας εἰς τάς ἁγίας σου μονάς· συνέγειρον καί τά σώματα ἡμῶν ἐν ἡμέρᾳ, ᾗ ὥρισας, κατά τάς ἁγίας σου καί ἀψευδεῖς ἐπαγγελίας. Οὐκ ἔστιν οὖν, Κύριε, τοῖς δούλοις σου θάνατος, ἐκδημούντων ἡμῶν ἀπό τοῦ σώματος, καί πρός σέ τόν Θεόν ἐνδημούντων, ἀλλά μετάστασις ἀπό τῶν λυπηροτέρων ἐπί τά χρηστότερα καί θυμηδέστερα, καί ἀνάπαυσις καί χαρά. Εἰ δέ καί τι ἡμάρτομεν εἰς σέ, ἵλεως γενοῦ ἡμῖν τε καί αὐτοῖς· διότι οὐδείς καθαρός ἀπό ῥύπου ἐνώπιόν σου, οὐδ᾽ ἄν μία ἡμέρᾳ ᾖ ἡ ζωή αὐτοῦ· εἰμή μόνος σύ, ὁ ἐπί γῆς φανείς ἀναμάρτητος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δι᾽ οὗ πάντες ἐλπίζομεν ἐλέους τυχεῖν, καί ἀφέσως ἁμαρτιῶν. Διά τοῦτο ἡμῖν τε καί αὐτοῖς, ὡς ἀγαθός καί φιλάνθρωπος Θεός, ἄνες, ἄφες, συγχώρησον τά παραπτώματα ἡμῶν, τά ἑκούσια καί τά ἀκούσια, τά ἐν γνώσει καί ἐν ἀγνοίᾳ, τά πρόδηλα, τά λανθάνοντα, τά ἐν πράξει, τά ἐν διανοίᾳ, τά ἐν λόγῳ, τά ἐν πάσαις ἡμῶν ταῖς ἀναστροφαῖς, καί τοῖς κινήμασι· καί τοῖς μέν προλαβοῦσιν ἐλευθερίαν καί

ἄνεσιν δώρησαι, ἡμᾶς δέ τούς περιεστῶτας εὐλόγησον, τέλος ἀγαθόν καί εἰρηνικόν παρεχόμενος ἡμῖν τε, καί παντί τῷ λαῷ σου, καί ἐλέους σπλάγχνα καί φιλανθρωπίας διανοίγων ἡμῖν, ἐν τῇ φρικτῇ καί φοβερᾷ σου παρουσίᾳ· καί τῆς βασιλείας σου ἀξίους ἡμᾶς ποίησον.

Ἐπισυνάπτει καί ταύτην·

Ὁ Θεός ὁ μέγας καί ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὁ πᾶσαν τήν κτίσιν ἐν σοφίᾳ δημιουργήσας, ὁ διαχωρίσας ἀνά μέσον τοῦ φωτός, καί ἀνά μέσον τοῦ σκότους, καί τόν ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, σελήνην δέ καί ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τούς ἁμαρτωλούς, καί ἐπί τῆς παρούσης ἡμέρας προφθάσαι τό πρόσωπόν σου ἐν ἐξομολογήσει, καί τήν ἑσπερινήν σοι λατρείαν προσαγαγεῖν. Αὐτός, φιλάνθρωπε Κύριε κατεύθυνον τήν προσευχήν ἡμῶν, ὡς θυμίαμα ἐνώπιόν σου, καί πρόσδεξαι αὐτήν εἰς ὀσμήν εὐωδίας. Παράσχου δέ ἡμῖν τήν παροῦσαν ἑσπέραν, καί τήν ἐπιοῦσαν νύκτα εἰρηνικήν· ἔνδυσον ἡμᾶς ὅπλα φωτός· ῥῦσαι ἡμᾶς ἀπό φόβου νυκτερινοῦ, καί ἀπό παντός πράγματος ἐν σκότει διαπορευομένου· καί δώρησαι ἡμῖν τόν ὕπνον, ὅν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναί, Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν χορηγέ· ἵνα, καί ἐν ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν καί ἐν νυκτί τοῦ παναγίου ὀνόματός σου· καί τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι ἐν ἀγαλλιάσει ψυχῆς διανιστῶμεν πρός δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καί ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες, ὑπέρ τῶν ἰδίων ἁμαρτιῶν, καί παντός τοῦ λαοῦ σου, ὅν ταῖς πρεσβείαις τῆς ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι.

Καί αὖθις ὁ Διάκονος·

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεύς ἐκφώνως·

Σύ γάρ εἶ ὁ Βασιλεύς τῆς εἰρήνης, καί Σωτήρ τῶν ψυχῶν ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ Ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος

Πληρώσωμεν τήν ἑσπερινήν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καί διαφύλαξον ἡμᾶς ὁ Θεός, τῇ σῇ χάριτι.

Τήν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικήν καί ἀναμάρτητον, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Ὁ Χορός·

Παράσχου, Κύριε.

Ὁμοίως καί ἐν ταῖς ἑξῆς τοῦ Διακόνου Αἰτήσεσιν.

Ὁ Διάκονος αὖθις·

Ἄγγελον εἰρήνης, πιστόν ὁδηγόν, φύλακα τῶν ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καί ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τά καλά καί συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καί εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Τόν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν, ἐν εἰρήνῃ καί μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανά τά τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καί καλήν ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ, αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καί ἀειπαρθένου Μαρίας, μετά πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς καί ἀλλήλους καί πᾶσαν τήν ζωήν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Χορός· Σοί Κύριε.

Ὁ Ἱερεύς ἐκφώνως·

Ὅτι ἀγαθός καί φιλάνθρωπος Θεός ὑπάρχεις, καί σοί τήν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καί τῷ Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, εὐλογῶν τόν λαόν·

Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καί τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τάς κεφαλάς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ Χορός· Σοί, Κύριε.

Καί πάντων κλινάντων τάς κεφαλάς, ὁ Ἱερεύς λέγει μυστικῶς τήν εὐχήν τῆς Κεφαλοκλισίας.

Κύριε, ὁ Θεός ἡμῶν, ὁ κλίνας οὐρανούς, καί καταβάς ἐπί σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τούς δούλους σου καί ἐπί τήν κληρονομίαν σου· σοί γάρ τῷ φοβερῷ καί φιλανθρώπῳ κριτῇ οἱ σοί δοῦλοι τάς ἑαυτῶν ἔκλιναν κεφαλάς, τούς δέ αὑτῶν ὑπέταξαν αὐχένας, οὐ τήν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλά τό σόν περιμένοντες ἔλεος, καί τήν σήν ἀπεκδεχόμενοι σωτηρίαν· οὕς διαφύλαξον ἐν παντί καιρῷ, καί κατά τήν παροῦσαν ἑσπέραν, καί τήν ἐπιοῦσαν νύκτα, ἀπό παντός ἐχθροῦ, ἀπό πάσης ἀ-

ντικειμένης ἐνεργείας διαβολικῆς καί διαλογισμῶν ματαίων, καί ἐνθυμήσεων πονηρῶν.

Εἶτα ἐκφωνεῖ·

Εἴη τό κράτος τῆς βασιλείας σου εὐλογημένον καί δεδοξασμένον, τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καί Ψάλλομεν τά Ἰδιόμελα τοῦ Στίχου.

Ἦχος γ΄.

Νῦν εἰς σημεῖον τοῖς πᾶσιν, ἐμφανῶς αἱ γλῶσσαι γεγόνασιν· Ἰουδαῖοι γάρ, ἐξ ὧν κατά σάρκα Χριστός, ἀπιστίᾳ νοσήσαντες, θεϊκῆς ἐξέπεσον χάριτος, καί τοῦ θείου φωτός οἱ ἐξ ἐθνῶν ἠξιώθημεν, στηριχθέντες τοῖς λόγοις τῶν μαθητῶν, φθεγγομένων τήν δόξαν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ· μεθ᾽ ὧν τάς καρδίας σύν τοῖς γόνασι κλίναντες, ἐν πίστει προσκυνήσωμεν, τῷ ἁγίῳ Πνεύματι στηριχθέντες, Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Στίχ. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί, ὁ Θεός, καί Πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Νῦν τό Παράκλητον Πνεῦμα, ἐπί πᾶσαν σάρκα ἐκκέχυται· Ἀποστόλων γάρ χορείας ἀρξάμενον, ἐξ αὐτῶν κατά μέθεξιν τοῖς πιστοῖς τήν χάριν ἐφήπλωσε, καί πιστοῦται αὐτοῦ τήν κραταιάν ἐπιφοίτησιν, ἐν πυρίνῳ τῷ εἴδει τοῖς Μαθηταῖς διανέμων τάς γλώσσας, εἰς ὑμνῳδίαν καί δόξαν Θεοῦ· διό τάς καρδίας νοερῶς ἐλλαμπόμενοι, ἐν πίστει στηριχθέντες τῷ ἁγίῳ Πνεύματι, δυσωποῦμεν σωθῆναι τάς ψυχάς ἡμῶν.

Στίχ. Μή ἀπορρίψῃς με ἀπό τοῦ προσώπου σου, καί τό Πνεῦμά σου τό Ἅγιον μή ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Νῦν περιβάλλονται κράτος, οἱ Χριστοῦ ἀφ᾽ ὕψους ἀπόστολοι· ἐγκαινίζει γάρ αὐτούς ὁ Παράκλητος ἐν αὐτοῖς

καινιζόμενος, μυστικῇ καινότητι γνώσεως· ἥν ταῖς ξέναις φωναῖς, καί ὑψηγόροις κηρύττοντες, τήν ἀΐδιον φύσιν τε καί ἁπλῆν, τρισυπόστατον σέβειν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ, ἡμᾶς ἐδιδάσκουσι· διό φωτισθέντες τοῖς ἐκείνων διδάγμασι, Πατέρα προσκυνήσωμεν, σύν Υἱῷ καί Πνεύματι, δυσωποῦντες σωθῆναι τάς ψυχάς ἡμῶν.

Δόξα πατρί. Καί νῦν. Ἦχος πλ. δ΄.

Δεῦτε λαοί, τήν τρισυπόστατον θεότητα προσκυνήσωμεν, Υἱόν ἐν τῷ Πατρί, σύν ἁγίῳ Πνεύματι. Πατήρ γάρ ἀχρόνως ἐγέννησεν Υἱόν, συναΐδιον καί σύνθρονον, καί Πνεῦμα ἅγιον ἦν ἐν τῷ Πατρί, σύν Υἱῷ δοξαζόμενον· μία δύναμις, μία οὐσία, μία θεότης, ἥν προσκυνοῦντες πάντες λέγομεν· Ἅγιος ὁ Θεός, ὁ τά πάντα δημιουργήσας δι᾽ Υἱοῦ, συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος ἰσχυρός, δι᾽ οὗ τόν Πατέρα ἐγνώκαμεν, καί τό Πνεῦμα τό Ἅγιον ἐπεδήμησεν ἐν κόσμῳ. Ἅγιος ἀθάνατος, τό Παράκλητον Πνεῦμα, τό ἐκ Πατρός ἐκπορευόμενον, καί ἐν Υἱῷ ἀναπαυόμενον· Τριάς ἁγία, δόξα σοι.

Τό, Νῦν ἀπολύεις... Τό Τρισάγιον·

Εἶτα τό Ἀπολυτίκιον τῆς Ἑορτῆς.

Ἦχος πλ. δ΄.

Εὐλογητός εἶ Χριστέ, ὁ Θεός ἡμῶν, ὁ πανσόφους τούς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τό Πνεῦμα τό ἅγιον, καί δι᾽ αὐτῶν τήν οἰκουμένην σαγηνεύσας. Φιλάνθρωπε δόξα σοι.

Εἶτα ὁ Ἱερεύς ποιεῖ τήν Ἀπόλυσιν οὕτως·

Ὁ ἐκ τῶν πατρικῶν κόλπων κενώσας ἑαυτόν, καί τήν ἡμετέραν ὅλην ἀνθρωπείαν προσλαβόμενος φύσιν, καί θεώσας αὐτήν, μετά δέ ταῦτα εἰς οὐρανούς αὖθις ἀνελθών, καί ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καί Πατρός, τό τε θεῖον, καί ἅγιον, καί ὁμοούσιον, καί ὁμοδύναμον, καί ὁμόδοξον, καί συναΐδιον Πνεῦμα καταπέμψας ἐπί τούς ἁγίους αὐτοῦ μαθη-

τάς καί Ἀποστόλους, καί διά τούτου φωτίσας μέν αὐτούς, δι᾽ αὐτῶν δέ πᾶσαν τήν οἰκουμένην, Χριστός ὁ ἀληθινός Θεός ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου, καί παναμώμου ἁγίας αὐτοῦ Μητρός, τῶν ἁγίων, ἐνδόξων, πανευφήμων, θεοκηρύκων καί πνευματοφόρων Ἀποστόλων, καί πάντων τῶν ἁγίων, ἐλεήσαι καί σώσαι ἡμᾶς διά τήν ἑαυτοῦ ἀγαθότητα. Ἀμήν.



# H AKOLOYUIA THS UEIAS METALHCEVS

Μέλλων προσελθεῖν τοῖς ἀχράντοις Μυστηρίοις, μετά τήν ἀφ᾽ ἑσπέρας εἰθισμένην ᾽Ακολουθίαν τοῦ Ἀ- ποδεί-πνου, ἕως τέλους τοῦ· Πιστεύω εἰς ἕνα Θεόν..., λέγε μετά κατανύξεως τόνπαρόντα Κανόνα, οὗ ἡ ᾽Ακροστιχίς κατ᾽ ᾽Αλφάβητον.

᾽Ωδή α΄. ῏Ηχος β΄. Δεῦτε λαοί.

Ἄρτος ζωῆς, αἰωνιζούσης γενέσθω μοι, τό σῶμά σου τό ἅγιον, εὔσπλαγχνε Κύριε, καί τό τίμιον αἷμα, καί νόσων πολυτρόπων ἀλεξιτήριον.

Βεβηλωθείς, ἔργοις ἀτόποις ὁ δείλαιος, τοῦ σοῦ ἀχράντου σώματος καί θείου αἵματος, ἀνάξιος ὑπάρχω, Χριστέ τῆς μετουσίας, ἧς με ἀξίωσον.

Θεοτοκίον.

Γῆ ἀγαθή, εὐλογημένη θεόνυμφε, τόν στάχυν ἡ βλαστήσασα τόν ἀγεώργητον, καί σωτήριον κόσμῳ, ἀξίωσόν με τοῦτον, τρώγοντα σώζεσθαι.

᾽Ωδή γ΄. ᾽Εν πέτρᾳ με τῆς πίστεως.

Δακρύων μοι παράσχου Χριστέ ρανίδας, τόν ρύπον τῆς καρδίας μου καθαιρούσας, ὡς ἄν εὐσυνειδήτως κεκαθαρμένος, πίστει προσέρχωμαι, καί φόβῳ Δέσποτα, ἐν τῇ μεταλήψει τῶν θείων δώρων σου.

Εἰς ἄφεσιν γενέσθω μοι τῶν πταισμάτων, τό ἄχραντόν σου σῶμα καί θεῖον αἷμα, εἰς Πνεύματος ῾Αγίου τε

κοινωνίαν, καί εἰς αἰώνιον ζωήν φιλάνθρωπε, καί παθῶν καί θλίψεων ἀλλοτρίωσιν.

Θεοτοκίον.

Ζωῆς τοῦ ῎Αρτου τράπεζα Παναγία, τοῦ ἄνωθεν δ᾿ ἔλεον καταβάντος, καί κόσμῳ καινοτέραν ζωήν διδόντος, κἀμέ ἀξίωσον νῦν τόν ἀνάξιον, μετά φόβου γεύσασθαι τούτου καί ζήσεσθαι.

᾿Ωδή δ΄. ᾿Ελήλυθας ἐκ Παρθένου.

Ἠθέλησας, δι᾿ ἡμᾶς σαρκωθείς πολυέλεε, τυθῆναι ὡς πρόβατον, διά βροτῶν ἁμαρτήματα· ὅθεν ἱκετεύω σε, καί τά ἐμά ἐξαλεῖψαι πλημμελήματα.

Θεράπευσον, τῆς ψυχῆς μου τά τραύματα Κύριε, καί ὅλον ἁγίασον, καί καταξίωσον Δέσποτα, ὅπως κοινωνήσω σοῦ, τοῦ μυστικοῦ θείου δείπνου ὁ ταλαίπωρος.

Θεοτοκίον.

Ἰλέωσαι, καί ἐμοί τόν ἐκ σπλάγχνων σου Δέσποινα, καί τήρει με ἄρρυπον, τόν σόν ἱκέτην καί ἄμεμπτον, ὅπως εἰσδεχόμενος, τόν νοητόν μαργαρίτην ἁγιάζωμαι.

᾿Ωδή ε΄. ῾Ο τοῦ φωτός χορηγός.

Καθώς προέφης Χριστέ, γενέσθω δή τῷ εὐτελεῖ δούλῳ σου· καί ἐν ἐμοί μεῖνον ὡς ὑπέσχου· ἰδού γάρ τό σῶμα, τρώγω σου τό θεῖον, καί πίνω τό αἷμά σου.

Λόγε Θεοῦ καί Θεέ, ὁ ἄνθραξ γένοιτο τοῦ σοῦ σώματος, εἰς φωτισμόν τῷ ἐσκοτισμένῳ ἐμοί καί καθαρισμόν, τῆς βεβηλωθείσης ψυχῆς μου τό αἷμά σου.

Θεοτοκίον.

Μαρία Μήτηρ Θεοῦ, τῆς εὐωδίας τό σεπτόν σκήνωμα, ταῖς σαῖς εὐχαῖς, σκεῦος ἐκλογῆς με ἀπέργασαι, ὅπως τῶν ἁγιασμάτων μετέχω τοῦ τόκου σου.

Ὠδή ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Νοῦν ψυχήν καί καρδίαν ἁγίασον, Σῶτερ καί τό σῶμά μου, καί καταξίωσον, ἀκατακρίτως Δέσποτα, τοῖς φρικτοῖς μυστηρίοις προσέρχεσθαι.

Ξενωθείην παθῶν καί τῆς χάριτος, σχοίην τε προσθήκην, ζωῆς καί ἀσφάλειαν, διά τῆς μεταλήψεως, τῶν ἁγίων Χριστέ μυστηρίων σου.

Θεοτοκίον.

Ὁ θεοῦ Θεός Λόγος ὁ ἅγιος, ὅλον με ἁγίασον νῦν προσερχόμενον, τοῖς θείοις μυστηρίοις σου, τῆς ἁγίας Μητρός σου δεήσεσιν.

Κοντάκιον. Ἦχος β΄. Τά ἄνω ζητῶν.

Τόν ἄρτον Χριστέ, λαβεῖν μή ὑπερίδῃς με, τό σῶμα τό σόν, καί τό θεῖον νῦν αἷμά σου, τῶν ἀχράντων, Δέσποτα, καί φρικτῶν Μυστηρίων σου, μετασχεῖν τῷ ἀθλίῳ, μή εἰς κρῖμά μοι γένοιτο· γένοιτο δέ μοι εἰς ζωήν αἰώνιον καί ἀθάνατον.

Ὠδή ζ΄. Εἰκόνος χρυσῆς.

Πηγή ἀγαθῶν, ἡ μετάληψις Χριστέ, τῶν ἀθανάτων σου, νῦν μυστηρίων γενηθήτω μοι, φῶς καί ζωή καί ἀπάθεια, καί πρός ἀρετῆς θειοτέρας, προκοπήν καί ἐπίδοσιν, πρόξενος μόνε ἀγαθέ, ὅπως δοξάζω σε.

Ρυσθείην παθῶν, καί ἐχθρῶν, καί ἀναγκῶν, καί πάσης θλίψεως, τρόμῳ καί πόθῳ προσιών τανῦν, μετ᾽ εὐλαβείας φιλάνθρωπε, σοῦ τοῖς ἀθανάτοις, καί θείοις μυστηρίοις, καί ψάλλειν σοι· Εὐλογητός εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Σωτῆρα Χριστόν, ἡ τεκοῦσα ὑπέρ νοῦν, θεοχαρίτωτε, ἐκδυσωπῶ σε νῦν ὁ δοῦλός σου, τήν καθαράν ὁ ἀκάθαρτος· μέλλοντά με νῦν τοῖς ἀχράντοις μυστηρίοις προ-

σέρχεσθαι, κάθαρον ὅλον μολυσμοῦ, σαρκός καί πνεύματος.

Ὠδή η΄. Τόν ἐν καμίνῳ τοῦ πυρός.

Τῶν οὐρανίων καί φρικτῶν, καί ἁγίων σου Χριστέ, νῦν μυστηρίων, καί τοῦ θείου σου δείπνου, καί μυστικοῦ κοινωνόν, γενέσθαι κἀμέ καταξίωσον, τόν ἀπεγνωσμένον, ὁ Θεός ὁ Σωτήρ μου.

Ὑπό τήν σήν καταφυγών, εὐσπλαγχνίαν, ἀγαθέ, κράζω σοι φόβῳ· Ἐν ἐμοί μεῖνον Σῶτερ, κἀγώ ὡς ἔφης ἐν σοί· ἰδού γάρ, θαρρῶν τῷ ἐλέει σου, τρώγω σου τό σῶμα, καί πίνω σου τό αἷμα.

Θεοτοκίον.

Φρίττω δεχόμενος τό πῦρ, μή φλεχθῶ ὡσεί κηρός καί ὡσεί χόρτος· ὤ φρικτοῦ μυστηρίου! ὤ εὐσπλαγχνίας Θεοῦ! Πῶς θείου σώματος καί αἵματος, ὁ πηλός μετέχω, καί ἀφθαρτοποιοῦμαι;

Ὠδή θ΄. Ἀνάρχου γεννήτορος.

Χρηστός ἐστι γεύσασθε, καί ἴδετε ὁ Κύριος· δι᾽ ἡμᾶς καθ᾽ ἡμᾶς γάρ πάλαι γενόμενος, ἅπαξ ἑαυτόν τε προσάξας, ὡς προσφοράν, Πατρί τῷ ἰδίῳ, ἀεί σφαγιάζεται, ἁγιάζων τούς μετέχοντας.

Ψυχήν σύν τῷ σώματι, ἁγιασθείην, Δέσποτα, φωτισθείην, σωθείην, γενοίμην οἶκός σου, τῇ τῶν μυστηρίων μεθέξει τῶν ἱερῶν, ἔνοικόν σε ἔχων, σύν Πατρί καί Πνεύματι, εὐεργέτα πολυέλεε.

Ὡς πῦρ γενηθήτω μοι, καί ὡσεί φῶς τό σῶμά σου, καί τό αἷμα, Σωτήρ μου, τό τιμιώτατον, φλέγον ἁμαρτίας τήν ὕλην, καί ἐμπιπρῶν παθῶν τάς ἀκάνθας, καί ὅλον φωτίζον με, προσκυνεῖν σου τήν θεότητα.

Θεοτοκίον.

Θεός σεσωμάτωται, ἐκ τῶν ἁγνῶν αἱμάτων σου· ὅθεν πᾶσα ὑμνεῖ σε γενεά Δέσποινα. Νόων τε τά πλήθη δοξάζει, ὡς διά σοῦ σαφῶς κατιδόντα, τῶν πάντων δεσπόζοντα, οὐσιωθέντα τό ἀνθρώπινον.

Καί εὐθύς τό· Ἄξιόν ἐστιν. Τρισάγιον. Δόξα. Καί νῦν. Παναγία Τριάς. Κύριε, ἐλέησον (γ΄). Δόξα. Καί νῦν. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἔστιν. Καί τά λοιπά τοῦ Ἀποδείπνου καί Ἀπόλυσις.

## ΤΗ ΔΕ ΕΠΑΥΡΙΟΝ

Τήν πρωΐαν μετά τήν συνήθη Ἑωθινήν Ἀκολουθίαν λέγε· Τρισάγιον. Δόξα. Καί νῦν. Παναγία Τριάς. Κύριε, ἐλέησον (γ΄). Δόξα. Καί νῦν. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. Κύριε ἐλέησον (ιβ΄). Δόξα. Καί νῦν. Δεῦτε προσκυνήσωμεν (γ΄) καί τούς ἑπομένους Ψαλμούς.

## ΨΑΛΜΟΣ ΚΒ΄. 22.

Κύριος ποιμαίνει με, καί οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν. Ἐπί ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με· τήν ψυχήν μου ἐπέστρεψεν. Ὡδήγησέ με ἐπί τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. Ἐάν γάρ καί πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σύ μετ᾽ ἐμοῦ εἶ. Ἡ ῥάβδος σου καί ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με. Ἐλίπανας ἐν ἐλαίῳ τήν κεφαλήν μου, καί τό ποτήριόν σου μεθύσκον με ὡσεί κράτιστον. Καί τό ἔλεός σου καταδιώξει με πάσας τάς ἡμέρας τῆς ζωῆς μου, καί τό κατοικεῖν με ἐν οἴκῳ Κυρίου, εἰς μακρότητα ἡμερῶν.

## ΨΑΛΜΟΣ ΚΓ΄. 23.

Τοῦ Κυρίου ἡ γῆ, καί τό πλήρωμα αὐτῆς· ἡ οἰκουμένη καί πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Αὐτός ἐπί θαλασσῶν ἐθεμελίωσεν αὐτήν, καί ἐπί ποταμῶν ἡτοίμασεν

αὐτήν. Τίς ἀναβήσεται εἰς τό ὄρος τοῦ Κυρίου; ἤ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; Ἀθῷος χερσί, καί καθαρός τῇ καρδίᾳ, ὅς οὐκ ἔλαβεν ἐπί ματαίῳ τήν ψυχήν αὐτοῦ, καί οὐκ ὤμοσεν ἐπί δόλῳ τῷ πλησίον αὐτοῦ. Οὗτος λήψεται εὐλογίαν παρά Κυρίου, καί ἐλεημοσύνην παρά Θεοῦ Σωτῆρος αὐτοῦ. Αὕτη ἡ γενεά ζητούντων τόν Κύριον, ζητούντων τό πρόσωπον τοῦ Θεοῦ Ἰακώβ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καί ἐπάρθητε πύλαι αἰώνιοι, καί εἰσελεύσεται ὁ βασιλεύς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεύς τῆς δόξης; Κύριος κραταιός καί δυνατός, Κύριος δυνατός ἐν πολέμῳ. Ἄρατε πύλας οἱ ἄρχοντες ἡμῶν, καί ἐπάρθητε πύλαι αἰώνιοι, καί εἰσελεύσεται ὁ βασιλεύς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεύς τῆς δόξης; Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεύς τῆς δόξης.

## ΨΑΛΜΟΣ ΡΙΕ΄. 115.

Ἐπίστευσα, διό ἐλάλησα· ἐγώ δέ ἐταπεινώθην σφόδρα. Ἐγώ δέ εἶπα ἐν τῇ ἐκστάσει μου· πᾶς ἄνθρωπος ψεύστης. Τί ἀνταποδώσω τῷ Κυρίῳ, περί πάντων, ὧν ἀνταπέδωκέ μοι; Ποτήριον σωτηρίου λήψομαι, καί τό ὄνομα Κυρίου ἐπικαλέσομαι. Τάς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντός τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ὦ Κύριε, ἐγώ δοῦλος σός, ἐγώ δοῦλος σός καί υἱός τῆς παιδίσκης σου· διέρρηξας τούς δεσμούς μου. Σοί θύσω θυσίαν αἰνέσεως, καί ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι. Τάς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω, ἐναντίον παντός τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου Ἱερουσαλήμ.

Δόξα. Καί νῦν. Ἀλληλούϊα (γ΄). Δόξα σοι ὁ Θεός. Κύριε, ἐλέησον (γ΄). Καί τά παρόντα τροπάρια.

Ἦχος πλ. β΄.

Τάς ἀνομίας μου πάριδε, Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καί τήν καρδίαν μου καθάρισον, ναόν αὐτήν ποιῶν

τοῦ ἀχράντου σου σώματος καί αἵματος. μή με ἐξουδενώσῃς ἀπό τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τό μέγα ἔλεος.

Δόξα πατρί.

Εἰς τήν μετάληψιν τῶν ἁγιασμάτων σου πῶς ἀναιδσθῶ ὁ ἀνάξιος; ἐάν γάρ τολμήσω σοι προσελθεῖν σύν τοῖς ἀξίοις, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ Δείπνου, καί κατάκρισιν προξενήσω τῇ πολυαμαρτήτῳ μου ψυχῇ. Καθάρισον, Κύριε, τόν ρύπον τῆς ψυχῆς μου καί σῶσόν με, ὡς φιλάνθρωπος.

Καί νῦν. Θεοτοκίον.

Πολλά τά πλήθη τῶν ἐμῶν, Θεοτόκε, πταισμάτων· πρός σέ κατέφυγον ἁγνή, σωτηρίας δεόμενος. Ἐπίσκεψαι τήν ἀσθενοῦσάν μου ψυχήν, καί πρέσβευε τῷ Υἱῷ σου καί Θεῷ ἡμῶν, δοθῆναί μοι τήν ἄφεσιν, ὧν ἔπραξα δεινῶν, μόνη εὐλογημένη.

Τῇ δέ ἁγίᾳ καί μεγάλῃ Πέμπτῃ τό παρόν.

Ὅτε οἱ ἔνδοξοι μαθηταί, ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβής, φιλαργυρίαν νοσήσας ἐσκοτίζετο καί ἀνόμοις κριταῖς σέ, τόν δίκαιον κριτήν, παραδίδωσι. Βλέπε χρημάτων ἐραστά, τόν διά ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχήν, τήν διδασκάλῳ τοιαῦτα τολμήσασαν. Ὁ περί πάντας ἀγαθός, Κύριε, δόξα σοι.

Τό, Κύριε, ἐλέησον (μ΄). Μετανοίας ὅσας βούλει, καί εὐθύς τάς ἑπομένας ἱκετηρίους Εὐχάς.

ΣΤΙΧΟΙ ΔΙΔΑΚΤΙΚΟΙ

Περί τοῦ, πῶς δεῖ προσέρχεσθαι τοῖς ἀχράντοις Μυστηρίοις.

Μέλλων φαγεῖν, ἄνθρωπε, σῶμα Δεσπότου.
Φόβῳ πρόσελθε μή φλεγῇς· πῦρ τυγχάνει.

Θεῖον δέ πίνων αἷμα πρός μετουσίαν,
πρῶτον καταλλάγηθι τοῖς σέ λυποῦσιν.
Ἔπειτα θαρρῶν, μυστική βρῶσιν φάγε.

Ἕτεροι ὅμοιοι·

Πρό τοῦ μετασχεῖν τῆς φρικώδους θυσίας,
Τοῦ ζωοποιοῦ σώματος τοῦ Δεσπότου.
Τῷδε πρόσευξαι τῷ τρόπῳ μετά τρόμου.

## ΕΥΧΗ Α΄. ΤΟΥ Μ. ΒΑΣΙΛΕΙΟΥ

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ἡ πηγή τῆς ζωῆς καί τῆς ἀθανασίας, ὁ πάσης ὁρατῆς καί ἀοράτου κτίσεως δημιουργός, ὁ τοῦ ἀνάρχου πατρός συναΐδιος Υἱός καί συνάναρχος, ὁ δι᾽ ὑπερβολήν ἀγαθότητος, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν, σάρκα φορέσας, καί σταυρωθείς, καί τυθείς ὑπέρ τῶν ἀχαρίστων καί ἀγνωμόνων ἡμῶν, καί τῷ οἰκείῳ σου Αἵματι ἀναπλάσας τήν φθαρεῖσαν ὑπό τῆς ἁμαρτίας φύσιν ἡμῶν· αὐτός ἀθάνατε Βασιλεῦ, πρόσδεξαι κἀμοῦ τοῦ ἁμαρτωλοῦ τήν μετάνοιαν, καί κλῖνον τό οὖς σου ἐπ᾽ ἐμοί, καί εἰσάκουσον τῶν ρημάτων μου· ἥμαρτον γάρ, Κύριε, ἥμαρτον εἰς τόν οὐρανόν καί ἐνώπιόν σου καί οὐκ εἰμί ἄξιος ἀτενίσαι εἰς τό ὕψος τῆς δόξης σου· παρώργισα γάρ σου τήν ἀγαθότητα, τάς σάς ἐντολάς παραβάς, καί μή ὑπακούσας τοῖς σοῖς προστάγμασιν. Ἀλλά σύ, Κύριε, ἀνεξίκακος ὤν, μακρόθυμός τε καί πολυέλεος, οὐ παρέδωκάς με συναπολέσθαι ταῖς ἀνομίαις μου, τήν ἐμήν πάντως ἀναμένων ἐπιστροφήν. Σύ γάρ εἶπας, φιλάνθρωπε, διά τοῦ προφήτου σου, ὅτι οὐ θελήσει θέλω τόν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τό ἐπιστρέψαι καί ζῆν αὐτόν· οὐ γάρ βούλει Δέσποτα, τό πλάσμα τῶν σῶν ἀπολέσθαι χειρῶν, οὐδ᾽ εὐδοκεῖς ἐπ᾽ ἀπωλείᾳ ἀνθρώπων, ἀλλά θέλεις πάντας σωθῆναι, καί εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Διό κἀγώ, εἰ καί ἀνάξιός εἰμι τοῦ οὐρανοῦ καί τῆς γῆς καί αὐτῆς τῆς προσκαίρου ζωῆς, ὅλον ἐμαυτόν ὑποτάξας τῇ ἁμαρτίᾳ· καί ταῖς ἡδοναῖς δουλώσας καί τήν σήν ἀχρειώσας εἰκόνα, ἀλλά ποίημα καί πλάσμα σόν γεγονώς, οὐκ ἀπογινώσκω τήν ἐμαυτοῦ σωτηρίαν ὁ ἄθλιος· τῇ δέ σῇ ἀμετρήτῳ εὐσπλαγχνία, θαρρήσας προσέρχομαι. Δέξαι οὖν κἀμέ, φιλάνθρωπε Χριστέ, ὡς τήν πόρνην, ὡς τόν λῃστήν, ὡς τόν τελώνην καί ὡς τόν ἄσωτον· καί ἆρόν μου τό βαρύ φορτίον τῶν ἁμαρτιῶν, ὁ τήν ἁμαρτίαν αἴρων τοῦ κόσμου καί τάς ἀσθενείας τῶν ἀνθρώπων ἰώμενος, ὁ

τούς κοπιῶντας καί πεφορτισμένους πρός σεαυτόν καλῶν καί ἀναπαύων· ὁ μή ἐλθών καλέσαι δικαίους, ἀλλά ἁμαρτωλούς εἰς μετάνοιαν· καί καθάρισόν με ἀπό παντός μολυσμοῦ σαρκός καί πνεύματος· δίδαξόν με ἐπιτελεῖν ἁγιωσύνην ἐν φόβῳ σου· ἵνα, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεώς μου τῶν ἁγιασμάτων σου τήν μερίδα ὑποδεχόμενος, ἑνωθῶ τῷ ἁγίῳ σώματί σου καί αἵματι, καί ἕξω σε ἐν ἐμοί κατοικοῦντα καί μένοντα, σύν τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι. Ναί, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός μου, καί μή εἰς κρῖμά μοι γένοιτο ἡ μετάληψις τῶν ἀχράντων καί ζωοποιῶν μυστηρίων σου, μηδέ ἀσθενής γενοίμην ψυχῇ τε καί σώματι, ἐκ τοῦ ἀναξίως αὐτῶν μεταλαμβάνειν· ἀλλά δός μοι, μέχρι τελεταίας μου πνοῆς, ἀκατακρίτως ὑποδέχεσθαι τήν μερίδα τῶν ἁγιασμάτων σου, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου, καί εἰς εὐπρόσδεκτον ἀπολογίαν τήν ἐπί τοῦ φοβεροῦ βήματός σου· ὅπως κἀγώ, σύν πᾶσι τοῖς ἐκλεκτοῖς σου μέτοχος γένωμαι τῶν ἀκηράτων σου ἀγαθῶν, ὧν ἡτοίμασας τοῖς ἀγαπῶσί σε, Κύριε· ἐν οἷς δεδοξασμένος ὑπάρχεις εἰς τούς αἰῶνας. Ἀμήν.

## ΕΥΧΗ Β΄. ΤΟΥ ΑΥΤΟΥ

Οἶδα, Κύριε, ὅτι ἀναξίως μεταλαμβάνω τοῦ ἀχράντου σου σώματος καί τοῦ τιμίου σου αἵματος καί ἔνοχός εἰμι, καί κρῖμα ἐμαυτῷ ἐσθίω καί πίνω, μή διακρίνων τό σῶμα καί τό αἷμα τοῦ Χριστοῦ καί Θεοῦ μου· ἀλλά τοῖς οἰκτιρμοῖς σου θαρρῶν, προσέρχομαί σοι τῷ εἰπόντι· Ὁ τρώγων μου τήν σάρκα καί πίνων μου τό αἷμα, ἐν ἐμοί μένει κἀγώ ἐν αὐτῷ. Σπλαγχνίσθητι οὖν, Κύριε, καί μή παραδειγματίσῃς με τόν ἁμαρτωλόν, ἀλλά ποίησον μετ᾽ ἐμοῦ κατά ἔλεός σου· καί γενέσθω μοι τά ἅγια ταῦτα εἰς ἴασιν, καί κάθαρσιν, καί φωτισμόν, καί φυλακτήριον, καί σωτηρίαν, καί ἁγιασμόν ψυχῆς τε καί σώματος, εἰς ἀπο-

τροπήν πάσης φαντασίας καί πονηρᾶς πράξεως καί ἐνεργείας διαβολικῆς, κατά διάνοιαν τῆς ἐν τοῖς μέλεσί μου ἐνεργουμένης, εἰς παρρησίαν καί ἀγάπην τήν πρός σέ, εἰς διόρθωσιν βίου καί ἀσφάλειαν, εἰς αὔξησιν ἀρετῆς καί τελειότητος, εἰς πλήρωσιν ἐντολῶν, εἰς Πνεύματος ἁγίου κοινωνίαν, εἰς ἐφόδιον ζωῆς αἰωνίου καί εἰς ἀπολογίαν εὐπρόσδεκτον, τήν ἐπί τοῦ φοβεροῦ βήματός σου· μή εἰς κρῖμα, ἤ εἰς κατάκριμα.

## ΕΥΧΗ Γ΄. ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Κύριε ὁ Θεός μου, οἶδα, ὅτι οὐκ εἰμί ἄξιος, οὐδέ ἱκανός, ἵνα μου ὑπό τήν στέγην εἰσέλθῃς τοῦ οἴκου τῆς ψυχῆς, διότι ὅλη ἔρημος καί καταπεσοῦσά ἐστι, καί οὐκ ἔχεις παρ᾽ ἐμοί τόπον ἄξιον τοῦ κλῖναι τήν κεφαλήν· ἀλλ᾽ ὡς ἐξ ὕψους δι᾽ ἡμᾶς ἐταπείνωσας σεαυτόν, συμμετρίασον καί νῦν τῇ ταπεινώσει μου. Καί ὡς κατεδέξω ἐν τῷ σπηλαίῳ καί φάτνῃ ἀλόγων ἀνακλιθῆναι, οὕτω κατάδεξαι καί ἐν τῇ φάτνῃ τῆς ἀλόγου μου ψυχῆς, καί ἐν τῷ ἐσπιλωμένῳ μου σώματι εἰσελθεῖν. Καί ὡς οὐκ ἀπηξίωσας εἰσελθεῖν, καί συνδειπνῆσαι ἁμαρτωλοῖς, ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, οὕτω κατάδεξαι εἰσελθεῖν καί εἰς τόν οἶκον τῆς ταπεινῆς μου ψυχῆς, τοῦ λεπροῦ καί ἁμαρτωλοῦ. Καί ὡς οὐκ ἀπώσω τήν ὁμοίαν μοι πόρνην καί ἁμαρτωλόν, προσερχομένην καί ἁπτομένην σου, οὕτω σπλαγχνίσθητι καί ἐπ᾽ ἐμοί τῷ ἁμαρτωλῷ, προσερχομένῳ σοι καί ἁπτομένῳ σου. Καί ὡς οὐκ ἐβδελύξω τό ρυπαρόν ἐκείνης στόμα καί ἐναγές καταφιλοῦν σε, μηδέ ἐμοῦ βδελύξῃ τό ρυπαρώτερον ἐκείνης στόμα καί ἐναγέστερον, μηδέ τά ἔμμυσα καί ἀκάθαρτά μου χείλη καί βέβηλα, καί τήν ἀκαθαρτοτέραν μου γλῶσσαν. Ἀλλά γενέσθω μοι ὁ ἄνθραξ τοῦ παναγίου σου σώματος καί τοῦ τιμίου σου αἵματος εἰς ἁγιασμόν καί φωτισμόν καί ρῶσιν τῆς ταπεινῆς μου ψυχῆς καί τοῦ σώματος, εἰς κουφισμόν τοῦ βάρους τῶν πολλῶν μου πλημμελημάτων, εἰς φυλακτήριον πάσης διαβολικῆς συνεργίας· εἰς ἀποτροπήν καί ἐμπόδιον τῆς φαύλης μου καί πονηρᾶς συνηθείας· εἰς ἀπονέκρωσιν τῶν παθῶν, εἰς περιποίησιν τῶν ἐντολῶν σου· εἰς προσθήκην τῆς θείας σου χάριτος καί τῆς σῆς βασιλείας οἰκείωσιν. Οὐ γάρ ὡς καταφρονῶν προσέρχομαί σοι, Χριστέ ὁ Θεός, ἀλλ᾽ ὡς θαρρῶν τῇ ἀφάτῳ σου ἀγαθότητι καί ἵνα μή, ἐπί πολύ ἀφιστάμενος τῆς κοινωνίας σου, θηριάλωτος ὑπό τοῦ νοητοῦ λύκου γένωμαι. Διό δέομαί σου, ὡς μόνος ὤν ἅγιος, Δέσποτα, ἁγίασόν μου

τήν ψυχήν καί τό σῶμα, τόν νοῦν καί τήν καρδίαν, τούς νεφρούς καί τά σπλάγχνα, καί ὅλον με ἀνακαίνισον, καί ρίζωσον τόν φόβον σου ἐν τοῖς μέλεσί μου, καί τόν ἁγιασμόν σου ἀνεξάλειπτον ἀπ᾽ ἐμοῦ ποίησον. Καί γενοῦ μοι βοηθός καί ἀντιλήπτωρ, κυβερνῶν ἐν εἰρήνῃ τήν ζωήν μου, καταξιῶν με καί τῆς ἐκ τῶν δεξιῶν σου παραστάσεως μετά τῶν ἁγίων σου· εὐχαῖς καί πρεσβείαις τῆς παναχράντου σου Μητρός, τῶν ἀΰλων σου λειτουργῶν καί ἀχράντων Δυνάμεων καί πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνος σοι εὐαρεστησάντων. Ἀμήν.

## ΕΥΧΗ Δ΄. ΤΟΥ ΑΥΤΟΥ

Οὐκ εἰμί ἱκανός, Δέσποτα Κύριε, ἵνα εἰσέλθῃς ὑπό τήν στέγην τῆς ψυχῆς μου· ἀλλ᾽ ἐπειδή βούλει σύ, ὡς φιλάνθρωπος, οἰκεῖν ἐν ἐμοί, θαρρῶν προσέρχομαι. Κελεύεις, ἀναπετάσω τάς πύλας, ἅς σύ μόνος ἐδημιούργησας, καί εἰσέρχῃ μετά φιλανθρωπίας, ὡς πέφυκας· εἰσέρχῃ καί φωτίζεις τόν ἐσκοτισμένον μου λογισμόν. Πιστεύω, ὡς τοῦτο ποιήσεις· οὐ γάρ πόρνην προσελθοῦσάν σοι μετά δακρύων ἀπέφυγες, οὐδέ τελώνην ἀπεβάλου μετανοήσαντα, οὐδέ λῃστήν ἐπιγνόντα τήν βασιλείαν σου ἀπεδίωξας, οὐδέ διώκτην μετανοήσαντα κατέλιπες, ὅ ἦν· ἀλλά τούς ὑπό τῆς μετανοίας σοι προσαχθέντας, ἅπαντας ἐν τῷ χορῷ τῶν σῶν φίλων κατέταξας, ὁ μόνος ὑπάρχων εὐλογημένος πάντοτε· νῦν καί ἀεί καί εἰς τούς ἀπεράντους αἰῶνας. Ἀμήν.

## ΕΥΧΗ Ε΄. ΤΟΥ ΑΥΤΟΥ

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός μου, ἄνες, ἄφες, ἱλάσθητι καί συγχώρησόν μοι τῷ ἁμαρτωλῷ καί ἀχρείῳ καί ἀναξίῳ δούλῳ σου τά πταίσματα καί πλημμελήματα καί παραπτώματά μου, ὅσα σοι ἐκ νεότητός μου μέχρι τῆς παρούσης ἡμέρας καί ὥρας ἥμαρτον, εἴτε ἐν γνώσει καί ἀγνοίᾳ, εἴτε ἐν λόγοις, ἤ ἔργοις ἤ ἐνθυμήμασιν, ἤ διανο-

ήμασι καί ἐπιτηδεύμασι, καί πάσαις μου ταῖς αἰσθήσεσι. Καί τῇ πρεσβείᾳ τῆς ἀσπόρως κυησάσης σε παναχράντου καί ἀειπαρθένου Μαρίας τῆς μητρός σου, τῆς μόνης ἀκαταισχύντου ἐλπίδος, καί προστασίας, καί σωτηρίας μου, καταξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν ἀχράντων καί ἀθανάτων, καί ζωοποιῶν καί φρικτῶν μυστηρίων σου, εἰς ἄφεσιν ἁμαρτιῶν καί εἰς ζωήν αἰώνιον· εἰς ἁγιασμόν καί φωτισμόν καί ρώμην καί ἴασιν καί ὑγείαν ψυχῆς τε καί σώματος· καί εἰς ἐξάλειψιν καί παντελῆ ἀφανισμόν τῶν πονηρῶν μου λογισμῶν καί ἐνθυμήσεων καί προλήψεων καί νυκτερινῶν φαντασιῶν τῶν σκοτεινῶν καί πονηρῶν πνευμάτων. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καί ἡ δύναμις καί ἡ δόξα καί ἡ τιμή καί ἡ προσκύνησις, σύν τῷ Πατρί, καί τῷ ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ ΣΤ΄. ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός ἡμῶν, ὁ μόνος ἔχων ἐξουσίαν ἀνθρώποις ἀφιέναι ἁμαρτίας, ὡς ἀγαθός καί φιλάνθρωπος, πάριδέ μου πάντα τά ἐν γνώσει καί ἀγνοίᾳ πταίσματα καί ἀξίωσόν με ἀκατακρίτως μεταλαβεῖν τῶν θείων καί ἐνδόξων καί ἀχράντων καί ζωοποιῶν σου μυστηρίων, μή εἰς κόλασιν, μή εἰς προσθήκην ἁμαρτιῶν, ἀλλ᾽ εἰς καθαρισμόν, καί ἁγιασμόν, καί ἀρραβῶνα τῆς μελλούσης ζωῆς καί βασιλείας, εἰς τεῖχος καί βοήθειαν καί ἀνατροπήν τῶν ἐναντίων, καί εἰς ἐξάλειψιν τῶν πολλῶν μου πλημμελημάτων. Σύ γάρ εἶ Θεός ἐλέους καί οἰκτιρμῶν, καί φιλανθρωπίας, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ Πατρί καί τῷ ἁγίῳ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Ζ΄. ΣΥΜΕΩΝ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Ἀπό ρυπαρῶν χειλέων, ἀπό βδελυρᾶς καρδίας, ἀπό ἀκαθάρτου γλώττης, ἐκ ψυχῆς ἐρρυπωμένης, δέξαι δέησιν, Χριστέ μου· καί μή παρωσάμενός μου, μή τούς λόγους, μή τούς τρόπους, μηδέ τήν ἀναισχυντίαν, δός μοι παρρησίᾳ λέγειν, ἅ βεβούλευμαι, Χριστέ μου, μᾶλλον δέ καί δίδαξόν με, τί με δεῖ ποιεῖν καί λέγειν.

Ἥμαρτον ὑπέρ τήν πόρνην ἥ, μαθοῦσα ποῦ κατάγεις, μήρον ἐξωνησαμένη, ἦλθε τολμηρῶς ἀλεῖψαι, σοῦ τούς πόδας τοῦ Χριστοῦ μου, τοῦ Δεσπότου καί Θεοῦ μου. Ὡς ἐκείνην οὐκ ἀπώσω, προσελθοῦσαν ἐκ καρδίας, μηδ' ἐμέ βδελύξῃ, Λόγε, σούς δέ πάρεσχέ μοι πόδας, καί κρατῆσαι καί φιλῆσαι, καί τῷ ρείθρῳ τῶν δακρύων, ὡς πολυτιμήτῳ μύρῳ, τούτους τολμηρῶς ἀλεῖψαι. Πλῦνόν με τοῖς δάκρυσί μου, κάθαρον αὐτοῖς με, Λόγε, ἄφες καί τά πταίσματά μου, καί συγγνώμην πάρασχέ μοι. Οἶδας τῶν κακῶν τό πλῆθος, οἶδας καί τά τραύματά μου· καί τούς μώλωπας ὁρᾷς μου, ἀλλά καί τήν πίστιν οἶδας, καί τήν προθυμίαν βλέπεις, καί τούς στεναγμούς ἀκούεις. Οὐ λανθάνει σε, Θεέ μου, ποιητά μου, λυτρωτά μου, οὐδέ σταλαγμός δακρύων, οὐδέ σταλαγμοῦ τι μέρος. Τόν μέν ἀκατέργαστόν μου, ἔγνωσαν οἱ ὀφθαλμοί σου· ἐπί τό βιβλίον δέ σου, καί τά μήπω πεπραγμένα, γεγραμμένα σοι τυγχάνει.

Ἴδε τήν ταπείνωσίν μου, ἴδε μου τόν κόπον, ὅσος, καί τάς ἁμαρτίας πάσας ἄφες μοι, Θεέ τῶν ὅλων, ἵνα καθαρᾷ καρδίᾳ, περιτρόμῳ διανοίᾳ καί ψυχῇ

συντετριμμένῃ, τῶν ἀχράντων σου μετάσχω καί πανάγνων μυστηρίων, οἷς ζωοῦται καί θεοῦται, πᾶς ὁ τρώγων σε καί πίνων ἐξ εἰλικρινοῦς καρδίας.
Σύ γάρ εἶπας, Δέσποτά μου· Πᾶς ὁ τρώγων μου τήν σάρκα, πίνων δέ μου καί τό αἷμα, ἐν ἐμοί μέν οὗτος μένει, ἐν αὐτῷ δ' ἐγώ τυγχάνων.
Ἀληθής ὁ λόγος πάντως τοῦ Δεσπότου καί Θεοῦ μου. Τῶν γάρ θείων ὁ μετέχων καί θεοποιῶν χαρίτων, οὔμενον, οὐκ ἔστι μόνος, ἀλλά μετά σοῦ, Χριστέ μου, τοῦ φωτός τοῦ τρισηλίου, τοῦ φωτίζοντος τόν κόσμον. Ἵνα γοῦν μή μόνος μένω, δίχα σοῦ τοῦ ζωοδότου, τῆς πνοῆς μου, τῆς ζωῆς μου, τοῦ ἀγαλλιάματός μου, τῆς τοῦ κόσμου σωτηρίας, διά τοῦτό σοι προσῆλθον, ὡς ὁρᾷς, μετά δακρύων καί ψυχῆς συντετριμμένης, λύτρων τῶν ἐμῶν πταισμάτων ἱκετεύων τοῦ λαβεῖν με, καί τῶν σῶν ζωοπαρόχων, καί ἀμέμπτων μυστηρίων μετασχεῖν ἀκατακρίτως, ἵνα μείνῃς, καθώς εἶπας, μετ' ἐμοῦ τοῦ τρισαθλίου· ἵνα μή, χωρίς εὑρών με τῆς σῆς χάριτος ὁ πλάνος, ἀφαρπάσῃ με δολίως, καί πλανήσας ἀπαγάγῃ τῶν θεοποιῶν σου λόγων. Διά τοῦτό σοι προσπίπτω, καί θερμῶς ἀναβοῶ σοι. Ὡς τόν ἄσωτον ἐδέξω, καί τήν πόρνην προσελθοῦσαν, οὕτω δέξαι με τόν πόρνον καί τόν ἄσωτον, οἰκτίρμον, ἐν ψυχῇ συντετριμμένῃ νῦν με προσερχόμενόν σοι.
Οἶδα, Σῶτερ, ὅτι ἄλλος, ὡς ἐγώ, οὐκ ἔπταισέ σοι, οὐδέ ἔπραξε τάς πράξεις, ἅς ἐγώ κατειργασάμην. Ἀλλά τοῦτο πάλιν οἶδα, ὡς οὐ μέγεθος πταισμάτων, οὐχ ἁμαρτημάτων πλῆθος, ὑπερβαίνει τοῦ Θεοῦ μου τήν πολλήν

μακροθυμίαν, καί φιλανθρωπίαν ἄκραν· ἀλλ' ἐλαίῳ συμπαθείας, τούς θερμῶς μετανοοῦντας, καί καθαίρεις, καί λαμπρύνεις καί φωτός ποιεῖς μετόχους, κοινωνούς θεότητός σου ἐργαζόμενος ἀφθόνως! καί, τό ξένον καί ἀγγέλοις καί ἀνθρώπων διανοίαις, ὁμιλεῖς αὐτοῖς πολλάκις, ὥσπερ φίλοις σου γνησίοις. Ταῦτα τολμηρόν ποιεῖ με, ταῦτά με πτεροῖ, Χριστέ μου· καί θαρρῶν ταῖς σαῖς πλουσίαις πρός ἡμᾶς εὐεργεσίαις, χαίρων τε καί τρέμων ἅμα, τοῦ πυρός μεταλαμβάνω, χόρτος ὤν, καί ξένον θαῦμα! δροσιζόμενος ἀφράστως, ὥσπερ οὖν ἡ βάτος πάλαι, ἡ ἀφλέκτως καιομένη. Τοίνυν εὐχαρίστῳ γνώμῃ, εὐχαρίστῳ δέ καρδίᾳ, εὐχαρίστοις μέλεσί μου, τῆς ψυχῆς καί τῆς σαρκός μου, προσκυνῶ, καί μεγαλύνω, καί δοξάζω σε, Θεέ μου ὡς εὐλογημένον ὄντα νῦν τε καί εἰς τούς αἰῶνας.

## ΕΥΧΗ Η΄. ΣΥΜΕΩΝ ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ

Ὁ μόνος καθαρός καί ἀκήρατος Κύριος, ὁ δι᾽ οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον, τό ἡμέτερον ὅλον προσλαβόμενος φύραμα, ἐκ τῶν ἁγνῶν καί παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε, Πνεύματος θείου ἐπελεύσει, καί εὐδοκίᾳ Πατρός ἀϊδίου, Χριστέ Ἰησοῦ, σοφία Θεοῦ, καί εἰρήνη, καί δύναμις· ὁ τῷ προσλήμματί σου τά ζωοποιά καί σωτήρια πάθη καταδεξάμενος, τόν σταυρόν, τούς ἥλους, τήν λόγχην, τόν θάνατον, νέκρωσόν μου τά ψυχοφθόρα πάθη τοῦ σώματος. Ὁ τῇ ταφῇ σου τά τοῦ ᾅδου σκυλεύσας βασίλεια, θάψον μου διά τῶν ἀγαθῶν λογισμῶν τά πονηρά διαβούλια, καί τά τῆς πονηρίας πνεύματα διασκέδασον. Ὁ τῇ τριημέρῳ σου καί ζωηφόρῳ ἀναστάσει τόν πεπτωκότα προπάτορα ἀναστή-

σας, ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος. Ὁ τῇ ἐνδόξῳ σου ἀναλήψει τῆς σαρκός θεώσας τό πρόσλημμα, καί τοῦτο τῇ δεξιᾷ καθέδρᾳ τιμήσας τοῦ Πατρός, ἀξίωσόν με, διά τῆς τῶν ἁγίων σου μυστηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σωζομένων τυχεῖν. Ὁ τῇ ἐπιδημίᾳ τοῦ Παρακλήτου πνεύματος σκεύη τίμια τούς ἱερούς σου μαθητάς ἐργασάμενος, δοχεῖον κἀμέ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως. Ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τήν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμέ προϋπαντῆσαί σοι ἐν νεφέλαις τῷ ποιητῇ καί πλάστῃ μου σύν πᾶσι τοῖς ἁγίοις σου· ἵνα ἀτελευτήτως δοξολογῶ καί ἀνυμνῶ σε, σύν τῷ ἀνάρχῳ σου Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ Θ΄. ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Πρό τῶν θυρῶν τοῦ ναοῦ σου παρέστηκα, καί τῶν δεινῶν λογισμῶν οὐκ ἀφίσταμαι, ἀλλά σύ Χριστέ ὁ Θεός, ὁ τελώνην δικαιώσας, καί χαναναίαν ἐλεήσας, καί τῷ ληστῇ παραδείσου πύλας ἀνοίξας, ἄνοιξόν μοι τά σπλάγχνα τῆς φιλανθρωπίας σου καί δέξαι με προσερχόμενον καί ἁπτόμενόν σου, ὡς τήν πόρνην, καί τήν αἱμόρρουν· ἡ μέν γάρ, τοῦ κρασπέδου σου ἁψαμένη, εὐχερῶς τήν ἴασιν ἔλαβεν, ἡ δέ, τούς σούς ἀχράντους πόδας κρατήσασα, τήν λύσιν τῶν ἁμαρτημάτων ἐκομίσατο. Ἐγώ δέ ὁ ἐλεεινός, ὅλον σου τό σῶμα τολμῶν δέξασθαι, μή καταφλεχθείην· ἀλλά δέξαι με, ὥσπερ ἐκείνας καί φώτισόν μου τά τῆς ψυχῆς αἰσθητήρια, καταφλέγων μου τά τῆς ἁμαρτίας ἐγκλήματα, πρεσβείαις τῆς ἀσπόρως τεκούσης σε, καί τῶν ἐπουρανίων δυνάμεων. Ὅτι εὐλογητός εἶ, εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μέχρις ὧδε ἀναγινώσκει ὁ Ἱερεύς μετά τήν ἑωθινήν Ἀκολουθίαν καί ποιεῖ Ἀπόλυσιν.

# Ε Ι Σ Ο Δ Ι Κ Α

## Ψαλλόμενα ἐν ταῖς Δεσποτικαῖς ἑορταῖς,

## κοντακια

## τῶν Δεσποτικῶν καί Θεομητορικῶν ἑορτῶν, καί τῶν προεορτίων αὐτῶν, καί ἄλλων τινῶν ἐπισήμων ἡμερῶν, καί

## αναστασιμα απολυτικια

Τῇ α΄ Σ/βρίου. Ἀρχή τῆς Ἰνδίκτου, ἤτοι τοῦ νέου ἐκκλησιαστικοῦ ἔτους.

Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ὁ τῶν αἰώνων ποιητής καί δεσπότης, Θεέ τῶν ὅλων, ὑπερούσιε ὄντως, τήν ἐνιαύσιον εὐλόγησον περίοδον, σῴζων τῷ ἐλέει σου, τῷ ἀπείρῳ οἰκτίρμον, πάντας τούς λατρεύοντας, σοί τῷ μόνῳ δεσπότῃ, καί ἐκβοῶντας φόβῳ λυτρωτά· Εὔφορον πᾶσι, τό ἔτος χορήγησον.

Τῇ ζ΄ Σ/βρίου. Προεόρτια τῆς Γεννήσεως τῆς Θεοτόκου.

Κοντάκιον Προεόρτιον. Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον, καί Θεοτόκος Μαρία, ἡ παστάς ἡ ἄλυτος, τοῦ οὐρανίου νυμφίου, τίκτεται, ἀπό τῆς στείρας θεοβουλήτως, ὄχημα, τοῦ Θεοῦ Λόγου εὐτρεπισθῆναι· εἰς τοῦτο γάρ καί προωρίσθη, ἡ θεία πύλη, καί μήτηρ τῆς ὄντως ζωῆς.

Ἤ τό παρόν. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῇ σεπτῇ γεννήσει σου, ἡ οἰκουμένη, τῷ ἀΰλῳ Πνεύματι, πεποικιλμένη νοερῶς, ἐν εὐφροσύνῃ κραυγάζει σοι· Χαῖρε Παρθένε, χριστιανῶν τό καύχημα.

Ἀπό τῆς κδ΄ Αὐγούστου, τῇ η΄ Σεπτεμβρίου, τό Γενέθλιον τῆς ὑπεραγίας Θεοτόκου, καί μέχρι τῆς ἀποδόσεως ταύτης τῆς ἑορτῆς (ιβ΄ Σεπτεμβρίου).

Κοντάκιον.

Ἦχος δ΄. Αὐτόμελον.

Ἰωακείμ καί Ἄννα, ὀνειδισμοῦ ἀτεκνίας, καί Ἀδάμ καί Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτήν ἑορτάζει καί ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθείς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τήν Θεοτόκον, καί τροφόν τῆς ζωῆς ἡμῶν.

Τῇ ιγ΄ Σεπτεμβρίου. Τά Ἐγκαίνια τοῦ ναοῦ τῆς ἁγίας τοῦ Χριστοῦ καί Θεοῦ ἡμῶν Ἀναστάσεως.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Οὐρανός πολύφωτος, ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας, φωταγωγοῦσα τούς πιστούς· ἐν ᾧ ἑστῶτες κραυγάζομεν· Τοῦτον τόν οἶκον, στερέωσον Κύριε.

Τῇ ιδ΄ Σεπτεμβρίου. Ἡ παγκόσμιος ὕψωσις τοῦ τιμίου καί ζωοποιοῦ Σταυροῦ καί μέχρι τῆς ἀποδόσεως (κα' Σεπτεμβρίου).

Εἰσοδικόν.

Ὑψοῦτε Κύριον τόν Θεόν ἡμῶν, καί προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστιν. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ σαρκί σταυρωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον. (Ψάλλεται καί τῇ 1ῃ Αὐγούστου).
Ἦχος δ΄. Αὐτόμελον.

Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ τούς οἰκτιρμούς σου δώρησαι, Χριστέ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου τούς πιστούς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατά τῶν πολεμίων. Τήν συμμαχίαν ἔχοιεν τήν σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Ἀπό τῆς ἀποδόσεως τῆς ἑορτῆς τοῦ Σταυροῦ μέχρι τῆς η΄ Νοεμβρίου, καί ἀπό τῆς Κυριακῆς τῶν Ἁγίων Πάντων μέχρι τῆς κζ΄ Ἰουλίου.

Κοντάκιον. Ἦχος β΄.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρός τόν Ποιητήν ἀμετάθετε, Μή παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλά πρόφθασον, ὡς ἀγαθή, εἰς τήν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν, καί σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Ἀπό τῆς η΄ Νοεμβρίου μέχρι τῆς ἀποδόσεως τῶν Εἰσοδίων (κε΄ Νοεμβρίου), ψάλλεται τό Κοντάκιον τῆς ἑορτῆς.

Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθείς.

Ὁ καθαρώτατος ναός, τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστάς, καί παρθένος, τό ἱερόν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ Κυρίου, τήν χάριν συνεισάγουσα, τήν ἐν Πνεύματι θείῳ· ἥν ἀνυμνοῦσιν ἄγγελοι Θεοῦ· Αὕτη ὑπάρχει, σκηνή ἐπουράνιος.

Τῇ κ΄ Νοεμβρίου. Προεόρτια τῶν Εἰσοδίων κἄν τύχῃ ἐν Κυριακῇ, ψάλλεται τό Προεόρτιον Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Εὐφροσύνης σήμερον, ἡ οἰκουμένη, ἐπληρώθη ἅπασα, ἐν τῇ εὐσήμῳ ἑορτῇ, τῆς Θεοτόκου κραυγάζουσα· Αὕτη ὑπάρχει, σκηνή ἐπουράνιος.

Ἀπό τῆς ἀποδόσεως τῆς ἑορτῆς τῶν Εἰσοδίων μέχρι τῆς παρταμονῆς τῶν Χριστουγέννων (κδ΄ Δεκεμβρίου).

Κοντάκιον.

Προεόρτιον. Ἦχος γ΄. Αὐτόμελον.

Ἡ Παρθένος σήμερον, τόν προαιώνιον Λόγον, ἐν σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. Χόρευε, ἡ οἰκουμένη, ἀκουτισθεῖσα· δόξασον, μετά ἀγγέλων καί τῶν ποιμένων, βουληθέντα ἐπομφθῆναι παιδίον νέον, τόν πρό αἰώνων Θεόν.

Τῇ θ΄ Δεκεμβρίου. Ἡ Σύλληψις τῆς ἁγίας Ἄννης.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον, ἡ οἰκουμένη, τήν τῆς Ἄννης σύλληψιν, γεγενημένην ἐν Θεῷ· καί γάρ αὐτή ἀπεκύησε, τήν ὑπέρ λόγον, τόν Λόγον κυήσασαν.

Τῇ κε΄ Δεκεμβρίου. Ἡ κατά σάρκα Γέννησις τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Ἐκ γαστρός πρό Ἑωσφόρου ἐγέννησά σε· ὤμοσε Κύριος καί οὐ μεταμεληθήσεται. Σύ εἶ Ἱερεύς εἰς τόν αἰῶνα, κατά τήν τάξιν Μελχισεδέκ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἀπό τήν ἡμέρα τῆς ἑορτῆς τῶν Χριστουγέννων μέχρι καί τῆς ἀποδόσεως (λα´ Δεκεμβρίου ψάλλεται τό ἑξῆς Κοντάκιον.

Ἡ Παρθένος σήμερον, τόν ὑπερούσιον τίκτει, καί ἡ γῆ τό σπήλαιον, τῷ ἀπορσίτῳ προσάγει. Ἄγγελοι, μετά ποιμένων δοξολογοῦσι· Μάγοι δέ, μετά ἀστέρος ὁδοιποροῦσι· δι' ἡμᾶς γάρ ἐγεννήθη, παιδίον νέον, ὁ πρό αἰώνων Θεός.

Τῇ α´ Ἰανουαρίου. Ἡ κατά σάρκα περιτομή τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρσιτοῦ, Βασιλείου τοῦ Μεγάλου.

Εἰσοδικόν.

Δεῦτε προσκυνήσωμεν καί προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ σαρκί περιτμηθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἐάν τύχῃ ἡ ἑορτή ἐν Κυριακῇ λέγεται.

Δεῦτε προσκυνήσωμεν καί προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἀναστάς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον.

Ἦχος γ´. Ἡ Παρθένος.

Ὁ τῶν ὅλος Κύριος, περιτομήν ὑπομένει καί βροτῶν τά πταίσματα, ὡς ἀγαθός περιτέμνει· δίδωσι, τήν σωτηρίαν σήμερον κόσμῳ· Χαίρει δέ, ἐν τοῖς ὑψίστοις, καί ὁ τοῦ κτίστου, ἱεράρχης καί φωσφόρος, ὁ θεῖος μύστης, Χριστοῦ Βασίλειος.

Ἀπό τῆς β´ Ἰανουαρίου μέχρι τῆς παραμονῆς τῶν Θεοφανείων (ε´ Ἰανουαρίου).

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τοῖς ρείθροις σήμερον, τοῦ Ἰορδάνου, γεγονώς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μή δειλιάσῃς βαπτίσαι με· σῶσαι γάρ ἥκω, Ἀδάμ τόν πρωτόπλαστον.

Τῇ ς΄ Ἰανουαρίου. Τά ἅγια Θεοφάνεια τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνοόματι Κυρίου· Θεός Κύριος καί ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπό Ἰωάννου βαπτισθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἀπό τῆς ἑορτῆς τῶν Θεοφανείων μέχρι τῆς ἀποδόσεως (ιδ΄ Ἰανουαρίου).

Κοντάκιον.

Ἦχος δ΄. Αὐτόμελον.

Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ, καί τό φῶς σου, Κύριε, ἐσημειώθη ἐφ᾽ ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε· Ἦλθες ἐφάνης, τό φῶς τό ἀπρόσιτον.

Ἀπό τῆς ἀποδόσεως τῆς ἑορτῆς τῶν Θεοφανείων μέχρι τῆς ἀποδόσεως τῆς ἑορτῆς τῆς Ὑπαπαντῆς.

Κοντάκιον. Ἦχος α΄.

Ὁ μήτραν παρθενικήν, ἁγιάσας τῷ τόκῳ σου, καί χεῖρας τοῦ Συμεών, εὐλογήσας, ὡς ἔπρεπε, προφθάσας καί νῦν, ἔσωσας ἡμᾶς, Χριστέ ὁ Θεός. Ἀλλ' εἰρήνευσον, ἐν πολέμοις τό πολίτευμα, καί κραταίωσον βασιλεῖς οὕς ἠγάπησας, ὁ μόνος φιλάνθρωπος.

Τῇ β΄ Φεβρουαρίου. Ἡ Ὑπαπαντή τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Ἐγνώρισε Κύριος τό σωτήριον αὐτοῦ ἐναντίον πάντων τῶν ἐθνῶν. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐν ἀγκάλαις

τοῦ δικαίου Συμεών βασταχθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἀπό τῆς ἐνάρξεως τοῦ Τριωδίου, ἐάν ἔχει γίνη ἡ ἀπόδοσις τῆς ἑορτῆς τῆς Ὑπαπαντῆς λέγεται τό ἑξῆς Κοντάκιον.

Τῇ Κυριακῇ τοῦ Τελώνου καί τοῦ Φαρισαίου.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Φαρισαίου φύγωμεν, ὑψηγορίαν, καί Τελώνου μάθωμεν, ὕψος ρημάτων ταπεινῶν, ἐν μετανοίᾳ κραυγάζοντες· Σῶτερ τοῦ κόσμου, ἱλάσθητι δούλοις σου.

Τῇ Κυριακῇ τοῦ Ἀσώτου.

Κοντάκιον.

Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Τῆς πατρῴας δόξης σου, ἀποσκιρτήσας ἀφρόνως, ἐν κακοῖς ἐσκόρπισα, ὅν μοι παρέδωκας πλοῦτον· ὅθεν σοι, τήν τοῦ Ἀσώτου, φωνήν προσφέρω· Ἥμαρτον, ἐνώπιόν σου, πάτερ οἰκτίρμον· δέξαι με μετανοοῦντα, καί ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου.

Τῷ Σαββάτῳ τῆς Ἀπόκρεω.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Μετά τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τήν ψυχήν τοῦ δούλου σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλά ζωή ἀτελεύτητος.

Τῇ Κυριακῇ τῆς Ἀπόκρεῳ.

Κοντάκιον. Ἦχος α΄.

Ὅταν ἔλθῃς ὁ Θεός, ἐπί γῆς μετά δόξης, καί τρέμωσι τά σύμπαντα, ποταμός δέ τοῦ πυρός, πρό τοῦ βήματος ἕλκῃ, καί βίβλοι ἀνοίγωνται, καί τά κρυπτά δημοσιεύωνται· τότε ρῦσαί με, ἐκ τοῦ πυρός τοῦ ἀσβέστου, καί ἀξίωσον, ἐκ δεξιῶν σου με στῆναι, κριτά δικαιότατε.

Τό Σαββάτῳ τῆς Τυροφάγου.

Κοντάκιον. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχάς.

Ὡς εὐσεβείας κήρυκας, καί ἀσεβείας φίμωτρα, τῶν θεοφόρων τόν δῆμον ἐφαίδρυνας, τήν ὑφήλιον λάμποντα. Ἐν εἰρήνῃ τελείᾳ, ταῖς αὐτῶν ἱκεσίαις, τούς σέ δοξάζοντας, καί μεγαλύνοντας, διαφύλαξον ψάλλειν καί ᾄδειν σοι· Ἀλληλούϊα.

Τῇ Κυριακῇ τῆς Τυροφάγου.

Κοντάκιον. Ἦχος πλ. β΄. Αὐτόμελον.

Τῆς σοφίας ὁδηγέ, φρονήσεως χορηγέ, τῶν ἀφρόνων παιδευτά, καί πτωχῶν ὑπερασπιστά, στήριξον συνέτισον, τήν καρδίαν μου Δέσποτα. Σύ δίδου μοι λόγον, ὁ τοῦ Πατρός Λόγος· ἰδού γάρ τά χείλη μου, οὐ μή κωλύσω ἐν τῷ κράζειν σοι· Ἐλεῆμον ἐλέησόν με, τόν παραπεσόντα.

Ἀπό τῆς πρώτης Κυριακῆς τῶν Νηστειῶν, τήν ἑορτήν τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου, καί μέχρι τῆς πέμπτης Κυριακῆς.

Κοντάκιον.

Ἦχος πλ. δ΄. Αὐτόμελον.

Τῇ ὑπερμάχῳ στρατηγῷ τά νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε. Ἀλλ᾽ ὡς ἔχουσα τό κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον. Ἵνα κράζω σοι· Χαῖρε νύμφη ἀνύμφευτε.

Τῇ κδ΄ Μαρτίου. Προεόρτια τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐπελεύσει Πνεύματος, τοῦ παναγίου, τοῦ Πατρός τόν σύνθρονον, καί ὁμοούσιον φωνῇ, τοῦ ἀρχαγγέλου συνέλαβες, θεοκυῆτορ, Ἀδάμ ἡ ἀνάκλησις.

Τῇ κε΄ Μαρτίου. Ὁ Εὐαγγελισμός τῆς ὑπεραγίας Θεοτόκου.

Εἰσοδικόν.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, τό σωτήριον τοῦ Θεοῦ ἡμῶν. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἐάν τύχῃ ἡ ἑορτή Κυριακῇ εἰσοδικόν ψάλλεται·

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, τό σωτήριον τοῦ Θεοῦ ἡμῶν. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἀναστάς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τῷ Σαββάτῳ τοῦ ἁγίου καί δικαίου Λαζάρου.

Κοντάκιον.

Ἦχος β΄. Τά ἄνω ζητῶν.

Ἡ πάντων χαρά, Χριστός, ἡ ἀλήθεια, τό φῶς ἡ ζωή, τοῦ κόσμου ἡ ἀνάστασις, τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι· καί γέγονε τύπος τῆς ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

Τῇ Κυριακῇ τῶν Βαΐων.

Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Θεός Κύριος καί ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐπό πώλου ὄνου καθεσθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον.

Ἦχος πλ. β΄. Αὐτόμελον.

Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπί τῆς γῆς, ἐποχούμενος Χριστέ ὁ Θεός, τῶν ἀγγέλων τήν αἴνεσιν, καί τῶν παίδων τήν ὕμνησιν, προσεδέξω βοώντων σοι· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τόν Ἀδάμ ἀνακαλέσασθαι.

Τῇ ἁγίᾳ καί Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, μέχρι τῆς ἀποδόσεως καί τῇ Κυριακῇ τοῦ Θωμᾶ.

Εἰσοδικόν.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τόν Θεόν· Κύριον ἐκ πηγῶν Ἰσραήλ, Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἀναστάς ἐκ νεκρῶν, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον.

Ἦχος πλ. δ΄. Αὐτόμελον.

Εἰ καί ἐν τάφῳ, κατῆλθες ἀθάνατε, ἀλλά τοῦ ᾅδου, καθεῖλες τήν δύναμιν· καί ἀνέστης ὡς νικητής, Χριστέ ὁ Θεός, γυναιξί μυροφόροις, φθεγξάμενος· Χαίρετε, καί τοῖς σοῖς ἀποστόλοις, εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι, παρέχων ἀνάστασιν.

Ἐν ταῖς λοιπαῖς ἡμέραις τῆς ἑβδομάδος τοῦ Θωμᾶ μέχρι τῆς ἀποδόσεως.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Τῇ φιλοπράγμονι δεξιᾷ, τήν ζωοπάροχόν σου πλευράν, ὁ Θωμᾶς ἐξηρεύνησε, Χριστέ ὁ Θεός· συγκεκλεισμένων γάρ τῶν θυρῶν, ὡς εἰσῆλθες, σύν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα σοι· Κύριος ὑπάρχεις καί Θεός μου.

Τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς μέχρι τῆς ἀποδόσεως.

Κοντάκιον.

Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Τῆς ἑορτῆς τῆς νομικῆς, μεσαζούσης, ὁ τῶν ἁπάντων ποιητής, καί δεσπότης, πρός τούς παρόντας ἔλεγες Χριστέ ὁ Θεός· Δεῦτε καί ἀρύσασθε, ὕδωρ ἀθανασίας· ὅθεν σοι προσπίπτομεν, καί πιστῶς ἐκβοῶμεν. Τούς οἰκτιρμούς σου δώρησαι ἡμῖν· σύ γάρ ὑπάρχεις, πηγή τῆς ζωῆς ἡμῶν.

Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως.

Εἰσοδικόν.

Ἀνέβη ὁ Θεός ἐν ἀλαλαγμῷ· Κύριος ἐν φωνῇ σάλπιγγος. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθείς ἀφ' ἡμῶν εἰς τούς οὐρανούς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Εἰς τήν ἑορτήν τῆς Ἀναλήψεως, μέχρι τῆς ἀποδόσεως αὐτῆς.

Κοντάκιον.

Ἦχος πλ. β΄. Αὐτόμελον.

Τήν ὑπέρ ἡμῶν, πληρώσας οἰκονομίαν, καί τά ἐπί γῆς, ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστέ ὁ Θεός ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλά μένων ἀδιάστατος, καί βοῶν τοῖς ἀγαπῶσί σε· Ἐγώ εἰμι μεθ' ὑμῶν, καί οὐδείς καθ' ὑμῶν.

Τῇ Κυριακῇ τῆς ἁγίας Πεντηκοστῆς, μέχρι καί τῆς ἀποδόσεως.

Εἰσοδικόν.

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου· ᾄσωμεν καί ψαλοῦμεν τάς δυναστείας σου. Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Ὅτε καταβάς, τάς γλώσσας συνέχεε, διεμέρισεν ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρός, τάς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε· καί συμφώνως δοξάζομεν, τό πανάγιον Πνεῦμα.

Τῇ Κυριακῇ τῶν Ἁγίων Πάντων.

Κοντάκιον. Ἦχος πλ. δ΄. Αὐτόμελον.

Ὡς ἀπαρχάς τῆς φύσεως, τῷ φυτουργῷ τῆς κτίσεως, ἡ οἰκουμένη, προσφέρει σοι Κύριε, τούς θεοφόρους Μάρτυρας. Ταῖς αὐτῶν ἱκεσίαις, ἐν εἰρήνῃ βαθείᾳ, τήν Ἐκκλησίαν σου, διά τῆς Θεοτόκου, συντήρησον πολυέλεε.

Τῇ β΄ Ἰουλίου. Ἡ κατάθεσις τῆς τιμίας Ἐσθῆτος τῆς ὑπεραγίας Θεοτόκου ἐν Βλαχέρναις.

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.

Περιβολήν πᾶσι πιστοῖς ἀφθαρσίας, θεοχαρίτωτε Ἁγνή ἐδωρήσω, τήν ἱεράν ἐσθῆτά σου· μεθ' ἧς τό ἱερόν,

σῶμά σου ἐσκέπασας, σκέπη θεία ἀνθρώπων· ἧσπερ τήν κατάθεσιν, ἑορτάζομεν πόθῳ, καί ἐκβοῶντες κράζομεν πιστῶς· Χαῖρε Παρθένε, χριστιανῶν τό καύχημα.

Τῇ κε΄ Ἰουλίου. Ἡ Κοίμησις τῆς ἁγίας Ἄννης, μητρός τῆς Θεοτόκου.

Κοντάκιον. Ἦχος β΄. Τά ἄνω ζητῶν.

Προγόνων Χριστοῦ, τήν μνήμην ἑορτάσωμεν, τήν τούτων πιστῶς αἰτούμενοι βοήθειαν, τοῦ ρυσθῆναι ἅπαντας, ἀπό πάσης θλίψεως τούς κράζοντας· Ὁ Θεός γενοῦ μεθ' ἡμῶν, ὁ τούτους δοξάσας, ὡς ηὐδόκησας.

Ἀπό τῆς κζ΄ Ἰουλίου, τήν ἡμέρα τῆς ἑορτῆς Μεταμορφώσεως, καί μέχρι τῆς ἀποδόσεως αὐτῆς (ιγ΄ Αὐγούστου), καί τῇ 1ῃ Αὐγούστου ἐάν τύχῃ Κυριακή.

Κοντάκιον. Ἦχος βαρύς.

Ἐπί τοῦ ὄρους μετεμορφώθης, καί ὡς ἐχώρουν οἱ Μαθηταί σου τήν δόξαν σου, Χριστέ ὁ Θεός, ἐθεάσαντο· ἵνα, ὅταν σε ἴδωσι σταυρούμενον, τό μέν Πάθος νοήσωσιν ἑκούσιον, τῷ δέ κόσμῳ κηρύξωσιν, ὅτι σύ ὑπάρχεις ἀληθῶς τοῦ Πατρός τό ἀπαύγασμα.

Τῇ ε΄ Αὐγούστου. Προεόρτια τῆς Μεταμορφώ- σεως.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τῇ θείᾳ σήμερον, μεταμορφώσει, ἡ βροτεία ἅπασα, φύσις προλάμπει θεϊκῶς, ἐν εὐφροσύνῃ κραυγάζουσα· Μεταμορφοῦται Χριστός, σῴζων ἅπαντας.

Τῇ ς΄ Αὐγούστου. Ἡ μεταμόρφωσις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Εἰσοδικόν.

Ὅτι παρά σοί πηγή ζωῆς, Κύριε, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ μεταμορφωθείς, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Τῇ ιδ΄ Αὐγούστου. Προεόρτια τῆς Κοιμήσεως τῆς Θεοτόκου.

Κοντάκιον Προεόρτιον.

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῇ ἐνδόξῳ μνήμῃ σου, ἡ οἰκουμένη, τῷ ἀΰλῳ Πνεύματι, πεποικιλμένη νοερῶς, ἐν εὐφροσύνῃ κραυγάζει σοι· Χαῖρε Παρθένε, χριστιανῶν τό καύχημα.

Τῇ ιε΄ Αὐγούστου. Ἡ Κοίμησις τῆς ὑπεραγίας Θεοτόκου.

Εἰσοδικόν.

Δεῦτε προσκυνήσωμεν καί προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱέ Θεοῦ, (ὁ ἐν ἁγίοις θαυμαστός ἐν Καθημερινῇ), ἤ (ὁ ἀναστάς ἐκ νεκρῶν, ἐν Κυριακῇ), ψάλλοντάς σοι· Ἀλληλούϊα.

Κοντάκιον.

Ἦχος β΄. Αὐτόμελον.

Τήν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καί προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καί νέκρωσις οὐκ ἐκράτησεν· ὡς γάρ ζωῆς μητέρα, προς την ζωήν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

Τῇ λα΄ Αὐγούστου. Ἡ Κατάθεσις τῆς τιμίας Ζώνης τῆς Θεοτόκου.

Κοντάκιον.

Ἦχος β΄. Τήν ἐν πρεσβείαις.

Τήν θεοδόχον, γαστέρα σου Θεοτόκε, περιβαλοῦσα, ἡ ζώνη σου ἡ τιμία, κράτος τῇ πόλει σου ἀπροσμάχητον, καί θησαυρός ὑπάρχει, τῶν ἀγαθῶν ἀνέκλειπτος, ἡ μόνη τεκοῦσα ἀειπάρθενος.

Ἐάν τύχῃ ἡ ἑορτῇ ἐν Κυριακῇ, ψάλλεται τό παρόν.

Κοντάκιον.

Ἦχος δ΄. Ἐπεφάνεις σήμερον.

Τῆς τιμίας ζώνης σου, τῇ καταθέσει, ἑορτάζει σήμερον, ὁ σός πανύμνητε λαός· καί ἐκτενῶς ἀνακράζει σοι· χαῖρε παρθένε, χριστιανῶν τό καύχημα.

## αναστασιμα απολυτικια

Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος ὑπό τῶν Ἰουδαίων, καί στρατιωτῶν φυλασσόντων τό ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τήν ζωήν. Διά τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι ζωοδότα· Δόξξα τῇ ἀναστάσει σου Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

Ἦχος β΄.

Ὅτε κατῆλθες πρός τόν θάνατον ἡ ζωή ἡ ἀθάνατος, τότε τόν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δέ καί τούς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ ὁ Θεός ἡμῶν, δόξα σοι.

Ἦχος γ΄.

Εὐφραινέσθω τά οὐράνια, ἀγαλλιάσθω τά ἐπίγεια, ὅτι ἐποίησε κράτος, ἐν βραχίονι αὐτοῦ, ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τόν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας ᾅδου ἐρρύσατο ἡμᾶς, καί παρέσχε τῷ κόσμῳ τό μέγα ἔλεος.

Ἦχος δ΄.

Τό φαιδρόν τῆς ἀναστάσεως κήρυγμα, ἐκ τοῦ ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου μαθήτριαι, καί τήν προγονικήν ἀπόφασιν ἀπορρίψασθαι, τοῖς ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστός ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τό μέγα ἔλεος.

Ἦχος πλ. α΄.

Τόν συνάναρχον Λόγον Πατρί καί Πνεύματι, τόν ἐκ παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοί καί προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καί θάνατον ὑπομεῖναι, καί ἐγεῖραι τούς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Ἦχος πλ. β΄.

Ἀγγελικαί δυνάμεις ἐπί τό μνῆμά σου, καί οἱ φυλάσσοντες, ἀπενεκρώθησαν· καί ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τό ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τόν ᾅδην, μή πειρασθείς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ παρθένῳ, δωρούμενος τήν ζωήν· Ὁ ἀναστάς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Ἦχος βαρύς.

Κατέλυσας τῷ Σταυρῷ σου τόν θάνατον· ἠνέῳξας τῷ ληστῇ τόν παράδεισον· τῶν μυροφόρων τόν θρῆνον μετέβαλες, καί τοῖς σοῖς ἀποστόλοις κηρύττειν ἐπέταξας, ὅτι ἀνέστης Χριστέ ὁ Θεός, παρέχων τῷ κόσμῳ τό μέγα ἔλεος.

Ἦχος πλ. δ΄.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφήν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωή καί ἡ ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι.

## ΕΥΧΗ

### ἐπί τῶν Κολλύβων ἑορταζομένου ἁγίου.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ πάντα τελεσφορήσας τῷ λόγῳ σου, Κύριε, καί κελεύσας τῇ γῇ παντοδαπούς ἐκφύειν καρπούς εἰς ἀπόλαυσιν καί τροφήν ἡμετέραν· ὁ τοῖς σπέρμασι τούς τρεῖς παῖδας καί Δανιήλ, τῶν ἐν Βαβυλῶνι ἁβροδιαίτων λαμπροτέρους ἀναδείξας· Αὐτός, πανάγαθε Βασιλεῦ, καί τά σπέρματα ταῦτα σύν τοῖς διαφόροις καρποῖς εὐλόγησον, καί τούς ἐξ αὐτῶν μεταλαμβάνοντας ἁγίασον· ὅτι

εἰς δόξαν σήν, καί εἰς τιμήν καί μνήμην τοῦ ἁγίου (δεῖνος) ταῦτα προετέθησαν παρά τῶν σῶν δούλων, καί εἰς μνημόσυνον τῶν ἐν εὐσεβεῖ τῇ πίστει τελειωθέντων. Παράσχου δέ, ἀγαθέ, τοῖς τε εὐτρεπίσασι ταῦτα, καί τοῖς τήν μνήμην ἐπιτελοῦσι, πάντα τά πρός σωτηρίαν αἰτήματα, καί τῶν αἰωνίων σου ἀγαθῶν τήν ἀπόλαυσιν· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί ἀειπαρθένου Μαρίας, τοῦ ἁγίου (δεῖνος), οὗ καί τήν μνήμην ἐπιτελοῦμεν, καί πάντων σου τῶν Ἁγίων. Ὅτι σύ εἶ ὁ εὐλογῶν καί ἁγιάζων τά σύμπαντα, Χριστέ ὁ Θεός ἡμῶν, καί σοί τήν δόξαν ἀναπέμπομεν, σύν τῷ ἀνάρχῳ σου Πατρί, καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΕΥΧΗ

### εἰς τό εὐλογῆσαι τά Βαΐα, Τῇ Κυριακῇ τῶν Βαΐων.

Τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ὁ Θεός ἡμῶν, ὁ καθήμενος ἐπί τῶν Χερουβείμ, ὁ ἐξεγείρας τήν δυναστείαν, καί ἀποστείλας τόν μονογενῆ σου Υἱόν, τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἵνα σώσῃ τόν κόσμον διά τοῦ σταυροῦ, τῆς ταφῆς καί τῆς ἀναστάσεως αὐτοῦ· οὗ παραγενομένου ἐν Ἱερουσαλήμ ἐπί τό ἑκούσιον Πάθος, ὁ λαός, ὁ καθήμενος ἐν σκότει καί σκιᾷ θανάτου, λαβόντες τά τῆς νίκης σύμβολα, τούς κλάδους τῶν δένδρων, καί τά βαΐα τῶν φοινίκων, τήν ἀνάστασιν προεμήνυσαν. Αὐτός, Δέσποτα, καί ἡμᾶς, τούς κατά μίμησιν ἐκείνων, τῇ προεορτίῳ ταύτῃ ἡμέρᾳ βαΐα καί κλάδους δένδρων ἐν χερσί φέροντας, διατήρησον, καί, ὡς ἐκεῖνοι οἱ ὄχλοι καί οἱ Παῖδες, τό, Ὡσαννά σοι προσφέρο-

ντας, διαφύλαξον· ὅπως ἐν ὕμνοις καί ᾠδαῖς πνευματικαῖς καταξιωθῶμεν τῆς ζωοποιοῦ καί τριημέρου ἀναστάσεως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ εὐλογητός εἶ, σύν τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ σου Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΠΡΟΣΕΥΧΗ
## ΥΠΕΡ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΚΑΙ ΤΩΝ ΚΛΗΡΙΚΩΝ

**Ὑπὸ τοῦ μακαριστοῦ π. Ἐπιφανίου Θεοδωροπούλου**

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ μέγας καὶ φοβερὸς καὶ ἔνδοξος, ὁ φυλάσσων τὸ ἔλεός Σου καὶ τὴν διαθήκην Σου τοῖς ἀγαπῶσι Σε καὶ φυλάσσουσι τὰ Σὰ προστάγματα, εὐχαριστοῦμεν Σοι ὑπὲρ τῶν φανερῶν καὶ ἀφανῶν Σου εὐεργεσιῶν τῶν εἰς ἡμᾶς γεγενημένων. Δεόμεθά σου, Κύριε, ῥῦσαι ἡμᾶς καὶ λύτρωσαι, ὅτι πολλὰ τοῖς νόμοις Σου ἀφρόνως προσεπταίσαμεν καὶ ἐκολλήθη ἡ γαστὴρ ἡμῶν εἰς γῆν ἰλῦος. Ἐγενήθημεν ὡσεὶ σκεύη ἀπολωλότα, καὶ ἠκούσαμεν ψόγον πολ- λῶν παροικούντων κυκλόθεν. Διὸ παρακαλοῦμέν Σε, φιλάνθρωπε Δεσπότα, ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ’ ἡμᾶς τὸ μέγα Σου ἔλεος. Μὴ παραδῷς, Μονογενὲς Λόγε τοῦ Θεοῦ, τὴν Ἐκκλησίαν Σου, ἣν περιεποιήσω τῷ Τιμίῳ Αἵματι Σου, δέρεσθαι ὑπὸ ἀνέμων καὶ σαλεύεσθαι ὑπὸ κυμάτων. Εἰπὲ οὖν, Κύριε, τῇ μαινομένῃ κατ’ αὐτῆς θα- λάσσῃ τῶν παθῶν του κόσμου «σιώπα, πεφίμωσο»· ἐπιτίμησον δὲ τοῖς ἀνέμοις καὶ ποίησον γαλήνην, ἵνα γαληνῶς ποντοπορῇ καὶ ἀταράχως ἡ θεία Ὁλκάς Σου. Δὸς δή, φιλεύσπλαγχνε Κύριε, καὶ τοῖς ἁγίοις Σου Ἀρ-χιερεῦσι καὶ Ἱερεῦσιν, οὓς Πνεῦμα τὸ Πανάγιον ποιμαίνειν ἔθετο τὴν ἐπὶ γῆς στρατευομένην Ἐκ- κλησίαν Σου, χάριν συνέσεως εἰς τὸ διανοεῖσθαι καὶ πράττειν τὰ εὐάρεστά Σοι καὶ τῷ μυστικῷ Σου Σώματι συμφέροντα. Σὺ τοίνυν, Ἰησοῦ Χριστέ, κυβέρνησον καὶ δίδαξον καὶ φώτισον αὐτοὺς τοῦ ἀγαπᾶν ὑπὲρ τὰ πρόσκαιρα τὴν δόξαν Σου τὴν ἄφθαρτον· ὑπὲρ τὰ ὅρια τῶν γεηρῶν Ἐπισκοπῶν καὶ Ἐνοριῶν αὐτῶν, ὁρᾶν τὴν ἀμετάθετόν Σου Βασιλείαν, ἣν ἀπὸ καταβολῆς κόσμου ἡτοίμασας πᾶσι τοῖς ἀγαπῶσι Σε. Δὸς αὐτοῖς, Κύριε, ἐν φίλτρου ἀγαπᾶν παροξυσμῷ τὸν τίμιον λαὸν Σου, ἀεὶ δ’ ἑτοίμους εἶναι καὶ τὴν κεφαλὴν ἀποτμηθῆναι ὑπὲρ τοῦ ποιμνίου ἑαυτῶν, κατὰ τὸ Σὸν ὑπόδειγμα. Χρημάτων, Ἅγιε, καὶ

δόξης, ποίησον αὐτοὺς ὑπερφρονεῖν καὶ φιλοπτώχους εἶναι, ἑλκύων ἅμα πρὸς τὸν Οὐρανὸν τὸ φρόνημα αὐτῶν. Ἔτι δεόμεθά Σου, Κύριε, φώτισον αὐτῶν τὰ ὄμματα· συνέτισον τὴν διάνοιαν· ταπείνωσον τὴν καρδίαν· τοὺς ὀφθαλμοὺς αὐτῶν ἅγνισον καὶ ἀπόστρεψον τοῦ μὴ βλέπειν τῶν ὑλαίων τὴν ματαιότητα· εὐόδωσον δὲ πάντας ἡμᾶς τοῦ διανύσαι τὴν στενὴν ὁδὸν καὶ τεθλιμμένην, ἵνα ἐν τοῖς Σκηνώμασι τοῖς Οὐρανίοις καταπαύσωμεν τῆς δόξης Σου, καὶ σὺν τοῖς Ἀγγέλοις Σου καὶ Ἀρχαγγέλοις ᾄδωμεν ᾆσμα καινὸν καὶ πανευφρόσυνόν Σοι τῷ Δεσπότῃ καὶ Ἁγίῳ Λυτρωτῇ ἡμῶν, σὺν τῷ Ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμήν.

**Τέλος καί τῷ Θεῷ δόξα. Ἀμήν.**

## ΠΙΝΑΚΑΣ ΠΕΡΙΕΧΟΜΕΝΩΝ


1. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ Σελ. 1

2. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΕΣΟΝΥΚΤΙΚΟΥ " 20

3. ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ " 24

4. ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΠΡΟΣΚΟΜΙΔΗΣ " 47

5. Η ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ " 67

6. Η ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ Μ. ΒΑΣΙΛΕΙΟΥ " 121

7. Η ΛΕΙΤΟΥΡΓΙΑ ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ " 180

8. Η ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΜΕΓΑ ΑΓΙΑΣΜΟΥ " 208

9. Η ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ ΓΟΝΥ/ ΣΙΑΣ " 223

10. Η ΑΚΟΛΟΥΘΙΑ ΤΗΣ Θ. ΜΕΤΑΛ/ΨΕΩΣ " 245

11. ΚΟΝΤΑΚΙΑ- ΕΙΣΟΔΙΚΑ " 262

12. ΑΝΑΣΤΑΣΙΜΑ ΑΠΟΛΥΤΙΚΙΑ " 274

13. ΕΥΧΗ ΤΩΝ ΚΟΛΛΥΒΩΝ " 276

**14. ΕΥΧΗ ΤΩΝ ΒΑΪΩΝ "**
**277**

**15. ΕΥΧΗ ΥΠΕΡ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ "**
**277**